Ε. Φ.
1596 β.

ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
026000285983

OLD
888.383 01
ΔΙΟ
1570

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡ-
τίου περὶ βίων, δογμάτων καὶ ἀπο-
φθεγμάτων ἐν φιλοσοφίᾳ εὐδοκι-
μησάντων, βιβλία Ι.

DIOGENIS LAERTII DE
vitis, dogmatis & apophthegmatis eo-
rum qui in philosophia claruе-
runt, libri X.

In quibus plurimi loci integritati suæ ex multis vetustis codicibus restituuntur, & ij quibus aliqua deerant, explentur. Cum annotationibus Henr. Stephani.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

PYTHAG. PHILOSOphorum fragmenta.

Cum Latina interpretatione.

1014/96
Β. Δ

ANNO M. D. LXX.
Excudebat [redacted]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αρ. Εισ. Κτημ. 15730



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΦΙΛΟΣΟΦΩΝ ΚΑΤΑΛΟΓΟΣ ΩΝ

τὺς βίους γέγραφεν ὁ Διογένης.

Αἰσχίνης 70
Ἀλκμαίων 338
Ἀναξαγόρας 51
Ἀναξάρχος 364
Ἀναξίμανδρος 49
Ἀναξιμένης 50
Ἀναχάρσις 49
Ἀνταδεύης 200
Ἀρίστιππος 72
Ἀριστοτέλης 165
Ἀρίστων 292
Ἀρκεσίλαος 149
Ἀρχέλαος 54
Ἄρχυτας 336

Β.

Βίας 30
Βίων 155

Γ.

Γλαύκων 93

Δ.

Δημώνακτος 192
Δημόκριτος 355
Διογένης ὁ κυνικὸς 206
Διογένης ὁ Ἀπολλωνιάτης 363
Διόδωρος 88
Διονύσιος 294

Ε.

Ἐμπεδοκλῆς 326
Ἐπίκουρος 384
Ἐπιμενίδης 42
Ἐπίχαρμος 335
Εὔδοξος 339
Εὐκλείδης 86

Ζ.

Ζήνων ὁ Κιτιεὺς 238
Ζήνων ὁ Ἐλεάτης 351

Η.

Ἡγησαναὶ 82
Ἡρακλείδης 196
Ἡράκλειτος 342
Ἕλλος 293

Θ.

Θαλῆς 14
Θεοδώρειοι 83
Θεόφραστος 177

Ι.

Ἱππαρχία 233
Ἵππασος 338

Κ.

Καρνεάδης 162
Κέβης 94
Κλεινόμαχος 294
Κλεάνθης 164
Κλεόβουλος 44
Κράτης 148
Κρατὴς ὁ Θηβαῖος 146
Κρίτων 229
Κύπρος 92

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λ.

Λεκύδης 161
Λεύκιππος 353
Λύκων 188

Μ.

Μάλιππος 551
Μελέσημος 94 & 235
Μένιππος 234
Μητροκλῆς 232
Μόνιμος 228
Μύσων 52

Ξ.

Ξενοκράτης 141
Ξενοφάνης 348
Ξενοφῶν 66

Ο.

Ὀνησίκριτος 228

Π.

Παρμενίδης 349
Περίανδρος 36
Πιττακὸς 27
Πλάτων 103
Πολέμων 145
Πρωταγόρας 361
Πυθαγόρας 309
Πύῤῥων 365

Σ.

Σιμμίας 94
Σίμων 93
Σόλων 16
Σπεύσιππος 139
Σπίλλων 89
Στράτων 186
Σφαῖρος 298
Σωκράτης 55

Τ.

Τίμων 380

Φ.

Φαίδων 88
Φερεκύδης 45
Φιλόλαος 338

Χ.

Χείλων 25
Χρύσιππος 299

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡ-

τίου περὶ βίων, δογμάτων καὶ ἀπο-
φθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐ-
δοκιμησάντων, ΒΙΒΛΙΟΝ α.



ΤΟ ΠΡΟΟΙΜΙΟΝ.

ΤΟ τῆς φιλοσοφίας ἔργον ἔιναι φασὶν
ἀπὸ βαρβάρων ἄρξαι. γεγονέναι γὰρ
παρὰ μὲν Πέρσαις μάγους, παρὰ δὲ Βα-
βυλωνίοις ἢ Ἀσσυρίοις Χαλδαίους, καὶ
γυμνοσοφιστὰς παρὰ Ἰνδοῖς· παρά τε
Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους δρυΐδας καὶ σε-
μνοθέους· καθά φησιν Ἀριστοτέλης ἐν τῷ μαγικῷ, καὶ Σω-
τίων ἐν τῷ εἰκοστῷ τρίτῳ τῆς διαδοχῆς. Φοίνικά τε γενέσθαι
φασὶν, καὶ Θρᾷκα Ζάμολξιν, καὶ Λίβυν Ἄτλαντα. Αἰ-
γυπτίοις μὲν γὰρ Νείλου γενέσθαι παῖδα Ἥφαιστον· ὃν ἄρξαι
φιλοσοφίας, ἧς τοὺς μετ' ἐκεῖνον, ἱερέας εἶναι καὶ μετενέγκαι
τὰς. ἀπὸ δὲ τούτου εἰς Ἀλέξανδρον τὸν Μακεδόνα ἔτη
εἶναι μυριάδας τέσσαρας καὶ ὀκτακισχίλια ὀκτακόσια ἔτη
ἑξηκοντατρία. ἐν οἷς ἡλίου μὲν ἐκλείψεις γενέσθαι τετρα-
κοσίας ἑβδομηκοντατρεῖς, σελήνης δὲ ὀκτακοσίας τετρα-
κονταδύο. ἀπὸ δὲ τὸν μάγον, ὃν ἄρξαι Ζωροάστρην τὸν Πέρ-
σην, Ἑρμόδωρος μὲν ὁ Πλατωνικὸς ἐν τῷ περὶ μαθημά-
φησιν εἰς τὸν Τροίας ἅλωσιν ἔτη γεγονέναι πεντακισχί-
λια· Ξάνθος δὲ ὁ Λυδὸς εἰς τὸν Ξέρξου διαβᾶσαν ἀπὸ
τοῦ Ζωροάστρου ἑξακόσια φησὶ καὶ μετ' αὐτὸν γεγονέ-
ναι πολλοὺς τινας μάγους καὶ διαδοχήν, Ὀστάνας καὶ Ἀ-

σραφύγους καὶ Γωβρύας καὶ Παζάτας, μέχρι τῆς Περσῶν ὑπ' Ἀλεξάνδρου καταλύσεως. λαμπάσιοις δ' αὐτοῖς τὰ τῶν Ἑλλήνων καταπεφώμασται, ἀφ' ὧν μὴ ὅπως φιλοσοφία, ἀλλὰ καὶ γλῶς τις ἤρξε, βαρβάροις ὑποκειμένοις τοῖς ἀνθρώποις. ἰδοὺ γοῦν παρὰ μὲν Ἀθηναίοις γέγονε Μουσαῖος, παρὰ δὲ Θηβαίοις Λίνος· καὶ τὸν μέν, Εὐμόλπου παῖδα φασὶ, πεῖσαι δὲ θεογονίαν καὶ σφαῖραν πρῶτον· φάναι τε ἐξ ἑνὸς τὰ πάντα γίνεσθαι, καὶ εἰς ταὐτὸν ἀναλύεσθαι. τὸν πλουτῆσαι Φαληροῖ, καὶ αὐτῷ ὑπογεγράφθαι τάδε τὰ ἐλεγεῖα,

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας,

Μουσαῖον φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ. ἀπὸ τοῦ πατρὸς δὲ τοῦ Μουσαίου καὶ Εὐμολπίδαι καλοῦνται παρ' Ἀθηναίοις. τὸν δὲ Λίνον, παῖδα εἶναι Ἑρμοῦ καὶ μούσης Οὐρανίας. πεῖσαι δὲ κοσμογονίαν, ἡλίου καὶ σελήνης πορείαν, καὶ ζώων καὶ καρπῶν γένεσις. οὕτω δὲ ἀρχὴ τοῦ ποιήματος ἥδε,

Ἦν ποτέ τι χάος ὄφρα, ὃν ὡς ἅμα πάντ' ἐπέφυκει.

ὅθεν λαβὼν Ἀναξαγόρας, πάντα ἔφη χρήματα γεγονέναι ὁμοῦ νοῦν δὲ ἐλθόντα, αὐτὰ διακοσμῆσαι. τὸν δὲ Λίνον πλουτῆσαι ἐν Εὐβοίᾳ, ἐξηυρέτα ὑπὸ Ἀπόλλωνος· καὶ αὐτῷ ὑπογεγράφθαι,

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,

Μούσης Οὐρανίης υἱὸν εὐστεφάνου. καὶ ὧδε μὲν ἀφ' Ἑλλήνων ἤρξε φιλοσοφία, ἧς καὶ αὐτὸ τὸ ὄνομα πλὴν βαρβάρων ἀπέσπασται θεοσεβείαν. οἱ δὲ Ἄβαριν δέ φασιν ἐκείνοις, τοῖς δὲ καὶ Ὀρφέα τὸν Θρᾷκα, λέγοντες φιλόσοφον γεγονέναι καὶ εἰς ἀρχαιότατον. ἐγὼ δὲ ἡγοῦμαι τοὺς θεῶν ἐξηγησάμενα διαῦτα, χρὴ φιλόσοφον καλεῖν, ὡς οἶδα τίνα δεῖ προσαγορεύειν τὸν παῦ τὸ ἀνθρώπειον πάθος ἀφιδρυσάμενα τοῖς θεοῖς προσπέψαι, καὶ τὰ ἀσυνίητα ὑπὸ ἄλλων ἀνθρώπων ἀλλοιουργούμενα καὶ τὴν τῆς φωνῆς ἁρ-

γαίω. τὸν δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησὶ τὸ δὲ ἐν Δίῳ τῆς Μακεδονίας ἐπίγραμμα, περιγενῆναι αὐτὸν, λέγον οὕτως,

Θρῄϊκα χρυσολύρην τὴν Ὀρφέα μοῦσαι ἔθαψαν,
Ὃν κταίεν ὑψιμέδων Ζεὺς φθονέων βέλει.

οἱ δὲ φάσκοντες ἀπὸ βαρβάρων ἄρξαι φιλοσοφίαν, καὶ τὸν τρόπον παρ' ἑκάστοις αὐτῆς ἐπιθέντας· καὶ φασι τοὺς μὲν γυμνοσοφιστὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀποφθεγγομένους φιλοσοφῆσαι, σέβειν θεοὺς, καὶ μηδὲν κακὸν δρᾶν, καὶ ἀνδρείαν ἀσκεῖν. τοὺς μεσῶ γυμνοσοφιστὰς καὶ θανάτου καταφρονεῖν φησι Κλείταρχος ἐν τῇ δωδεκάτῃ· τοὺς δὲ Χαλδαίους περὶ ἀστρονομίαν καὶ περὶ μαντικὴν ἀσχολεῖσθαι· τοὺς δὲ μάγους περί τε θεραπείας θεῶν διατείβειν καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτοὺς μόνους εἰσακουομένους. ἀποφαίνεσθαί τε περὶ τε οὐσίας θεῶν καὶ γενέσεως, οὓς καὶ περὶ τῆς γῆς καὶ τοῦ ὕδατος. τῶν δὲ ξοάνων καταγινώσκειν, καὶ μάλιστα τῶν λεγόντων ἄρρενας εἶναι θεοὺς καὶ θηλείας. περί τε δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ αἰσχρὸν ἡγεῖσθαι πυρὶ θάπτειν· καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ φησὶν ὁ Σωτίων. ἀσκεῖν τε καὶ μαγικὴν καὶ περίρρησιν, καὶ αὐτοῖς θεοὺς ἐμφανίζεσθαι λέγοντας. ἀλλὰ καὶ εἰδώλων πλήρη εἶναι τὸν ἀέρα, κατὰ ἀπόρροιαν ὑπὸ ἀναθυμιάσεως εἰσκρινομένων τὰς ἴψεσι τῶν ὀξυδερκῶν. περικοσμήματά τε καὶ χρυσοφορείας ἀπαγορεύειν. τούτων δὲ ἑστὴς μὲν, λυδική· σίβας δὲ, ἀνή· καὶ λάγχανον, προφὴ, πυρός τε, καὶ ἄρτος ἄτελής· καὶ κάλαμος, ἡ βακτηρία, ᾧ κεντοῦντες, φασὶ, τοὺς πυροὺς αἰνροῦντο καὶ ἀπήθουν. τὴν δὲ γοητικὴν μαντείαν οὐκ ἔγνωσαν, φησὶν Ἀριστοτέλης ἐν τῷ μαγικῷ, καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν· ὃς καὶ μεθερμηνευόμενον φησὶ τὸν Ζωροάστρην ἀστροθύτην εἶναι. φησὶ

ὃ τοῦτο καὶ ὁ Ἑρμόδωρος. Ἀριστοτέλης δ' ἐν τῷ περὶ τῶν φιλοσοφίας καὶ τῶν προτρεπτικῶν εἶναι τὴν Αἰγυπτίων, καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα· καὶ τὸν μὲν ὄνομα εἶναι Ζῆνα καὶ Ὡρομάσδην, τὸν δὲ Ἅιδην, καὶ Ἀρειμάνιον. φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῷ περὶ μάγων, καὶ Εὔδοξος ἐν τῇ περιόδῳ, καὶ Θεόπομπος ἐν τῇ ογδόῃ τῶν Φιλιππικῶν· ὃς καὶ ἀναβιώσεσθαι τοὺς μάγους φησὶ τοὺς ἀνθρώπους, καὶ ἔσεσθαι ἀθανάτους, καὶ τὰ ὄντα τούτων διαμένοντα βιώσεσθαι. ταῦτα δὲ καὶ Εὔδημος ὁ Ῥόδιος ἱστορεῖ. Ἑκαταῖος δὲ καὶ ἡλιοπετῆ τοὺς θεοὺς εἶναι κατ' αὐτούς. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῷ περὶ παιδείας, ἢ τοὺς γυμνοσοφιστὰς ἀποφαίνει; εἶναι τοὺς μάγους φησίν. ἔνιοι δὲ καὶ τοὺς Ἰουδαίους, ἐκ τούτων εἶναι. τοὺς τοίνυν καταγινώσκοντας Ἡροδότου οἱ τὰ περὶ μάγων γράψαντες. μηδὲ αὖ εἰς τὸν ἥλιον βέλη ξέρξαι ἀφιέντα, μηδὲ εἰς τὴν θάλασσαν πέδας καθεῖναι, θεοὺς ὑπὸ τῶν μάγων νομιζομένους. τὰ μέντοι ἀγάλματα εἰκότως καθαιρεῖν. τὴν δὲ τῶν Αἰγυπτίων φιλοσοφίαν εἶναι τοιαύτην περί τε θεῶν καὶ ὑπὲρ δικαιοσύνης. φάσκειν τε ἀρχὰς μὲν εἶναι τὴν ὕλην, εἶτα τὰ τέσσαρα στοιχεῖα ἐξ αὐτῆς διακριθῆναι, καὶ ζῷά τινα ἀποτελεσθῆναι. θεοὺς δὲ εἶναι ἥλιον καὶ σελήνην· τὸν μέν, Ὄσιριν, τὴν δέ, Ἶσιν καλουμένην. αἰνίττεσθαί τε αὐτοὺς διά τε καντάρου καὶ δράκοντος καὶ ἱέρακος καὶ ἄλλων, ὡς φησι Μάνεθως ἐν τῇ τῶν φυσικῶν ἐπιτομῇ, καὶ Ἑκαταῖος ἐν τῇ περὶ τὴν Αἰγυπτίων φιλοσοφίας. κατασκευάζειν δὲ ἀγάλματα καὶ γραφήν, διὰ μὲν εἰδέναι τὸ θεοφιλές· τὸν κόσμον γλυπτὸν καὶ φθαρτὸν καὶ σφαιροειδῆ· τοὺς ἀστέρας πῦρ εἶναι, καὶ τὴν τούτων κράσιν ὑπὸ γῆς γίνεσθαι· σελήνην ἐκλείπειν εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν· τὸν ψυχὸν καὶ ὑποδιαμένειν καὶ καταβαίνειν· ὑετοὺς καὶ ἄνεμος προϊόντων ἀποτελεῖσθαι· τά τε ἄλλα φυσιολογεῖν ὡς Ἑκαταῖος· τὸ

καὶ Ἀναξαγόρας ἱστοροῦσιν. ἔθεσαν δὲ καὶ νόμους ὑπὲρ δικαιοσύνης, οὓς εἰς Ἑρμοῦν ἀνέγραψαν, καὶ τὰ βύβλια σφῶν ζώων θεοὺς ἐδόξασαν. λέγουσι δὲ καὶ ὡς αὐτοὶ γεωμετρίαν καὶ ἀστρολογίαν καὶ ἀριθμητικὴν εὗρον. ἢ τὰ μὲν περὶ τῆς εὑρέσεως ὧδε ἔχει. φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας, καὶ ἑαυτὸν φιλόσοφον, ἐν Σικυῶνι διαλεγόμενος Λέοντι τῷ Σικυωνίων τυράννῳ ἢ Φλιασίων, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῇ περὶ τῆς ἄπνου. μηδένα γὰρ εἶναι σοφὸν ἄνθρωπον, ἀλλ' ἢ θεόν. ἦν δὲ καλεῖτο σοφία, καὶ σοφὸς ὁ τοιοῦτος ἐπαγγελλόμενος, ὃς εἴη ἀπὸ παντὸς ἀκρότητα ψυχῆς ἀπηκριβωμένος· φιλόσοφος δὲ ὁ σοφίαν ἀσπαζόμενος. οἱ δὲ σοφοὶ καὶ σοφισταὶ ἐκαλοῦντο. καὶ οὐ μόνον, ἀλλὰ καὶ οἱ ποιηταὶ σοφισταί· καθά φησι Κρατῖνος ἐν Ἀρχιλόχοις περὶ Ὁμήρου καὶ Ἡσίοδον ἐπαινῶν, ὅτι καλῶ. σοφοὶ δὲ ἐνομίζοντο οἵδε, Θαλῆς, Σόλων, Πεισίστρατος, Κλεόβουλος, Χίλων, Βίας, Πιττακός. τούτοις προσαριθμοῦσιν Ἀνάχαρσιν τὸν Σκύθην, Μίσωνα τὸν Χηνέα, Φερεκύδην τὸν Σύριον, Ἐπιμενίδην τὸν Κρῆτα· ἔνιοι καὶ Πεισίστρατον τὸν τυραννον. καὶ οἱ μὲν, σοφοί.

Φιλοσοφίας δὲ δύο γεγόνασιν ἀρχαί, ἥ τε ἀπὸ Ἀναξιμάνδρου καὶ ἡ ἀπὸ Πυθαγόρου τοῦ μὲν, Θαλοῦ διακηκότος, Πυθαγόρου δὲ Φερεκύδης καθηγήσατο καὶ ἐκαλεῖτο ἡ μὲν, Ἰωνικὴ, ὅτι Θαλῆς Ἴων ὢν (Μιλήσιος γὰρ) καθηγήσατο Ἀναξιμάνδρου· ἡ δὲ, Ἰταλικὴ ἀπὸ Πυθαγόρου, ὅτι τὰ πλεῖστα χρόνον Ἰταλίαν διέτριψε· καὶ καλεῖτο δὲ ἡ μὲν εἰς Κλεινόμαχον καὶ Χρύσιππον καὶ Θεόφραστον, ἡ Ἰωνικὴ, ἡ δὲ Ἰταλικὴ εἰς Ἐπίκουρον. Θαλοῦ μὲν γὰρ Ἀναξίμανδρος, οὗ Ἀναξιμένης, οὗ Ἀναξαγόρας, οὗ Ἀρχέλαος, οὗ Σωκράτης, ὁ πρῶτος εἰσαγαγὼν εἰς τὴν φιλοσοφίαν· οὗ οἵ τε ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων, ὁ τὴν ἀρχαίαν Ἀκαδημίαν συστησάμενος· οὗ Σπεύσιππος καὶ Ξενοκράτης, οὗ Πολέμων, οὗ Κράντωρ καὶ Κράτης, οὗ Ἀρκεσίλαος, ὁ τὴν μέσην Ἀκαδη-

μέαν εἰγνοαίως· οὗ Λακύδης, ὁ τὴν νέαν Ἀκαδημίαν φιλοσοφήσας· οὗ Καρνεάδης, οὗ Κλειτόμαχος, ὃς ὠδε μὲ εἰς Κλειτόμαχον. εἰς ἧς Χρύσιππον οὕτω καταλήγει Σωκράτης Ἀντιόχου, οὗ Διοδώρου ἐχύων, οὗ Κρόνος ὁ Θηβαῖος, οὗ Ζήνων ὁ Κιτιεύς, οὗ Κλεάνθης, οὗ Χρύσιππος. εἰς ἧς Θεόφραστον οὗτος Πλάτωνος Ἀριστόνης, ὃ Θεόφραστος. καὶ ἐμὲ Ἰωνικὴν τὴν καταλήγειν τὸν Θαλῆν· ἢ ἧς Ἰταλικὴν οὕτω. Φερεκύδης Πυθαγόρας, οὗ Θαλαγὴς ὁ ἡμέτερος, οὗ Ξενοφάνης, οὗ Παρμενίδης, οὗ Ζήνων ὁ Ἐλεάτης, οὗ Λεύκιππος, οὗ Δημόκριτος, οὗ πλείονες, ἐπ' ἐσχάτου δὲ, Ναυσιφάνης καὶ Ναυσιφάνης, ὧν Ἐπίκουρος.

Τῶν ἧς φιλοσόφων, οἱ μὲ γεγόνασι δογματικοί, οἱ ἧς, ἐφεκτικοί. δογματικοὶ μέν, ὅσοι περὶ τῶν πραγμάτων ἀποφαίνονται, ὡς καταληπτῶν· ἐφεκτικοὶ δὲ, ὅσοι ἐπέχουσι περὶ αὐτῶν, ὡς ἀκαταλήπτων. καὶ οἱ μὲν αὐτῶν καταλιπόντες ὑπομνήματα, οἱ δὲ ὅλως οὐ συνέγραψαν, ὡσαύτως καθάπερ Σωκράτης, Πλάτων, Φίλιππος, Μενέδημος, Πύρρων, Θεόδωρος, Καρνεάδης, Βρύσων καθάπερ Πυθαγόρας, Ἀρίστων ὁ Χῖος, πλὴν ὀλίγων ὀλίγοι. οἱ δὲ αἱρέσεις συνέγραψαν, Μέλισσος, Παρμενίδης, Ἀναξαγόρας. πλεῖστα δὲ Ζήνων, πλείω Ξενοφάνης, πλείω Δημόκριτος, πλείω Ἀριστόνης, πλείω Ἐπίκουρος, πλείω Χρύσιππος. Τῶν ἧς φιλοσόφων, οἱ μὲν ἀπὸ πόλεως προσηγορεύθησαν, ὡς οἱ Ἠλιακοὶ, καὶ Μεγαρικοὶ, καὶ Ἐρετρικοὶ, καὶ Κυρηναϊκοί· οἱ δὲ ἀπὸ τόπων, ὡς οἱ Ἀκαδημαϊκοὶ καὶ Στωϊκοί· ἀπὸ συμπτωμάτων δὲ, ὡς οἱ Περιπατητικοὶ καὶ ἀπὸ σκωμμάτων, ὡς οἱ κωμικοί. οἱ ἧς ἀπὸ διαθέσεων, ὡς οἱ εὐδαιμονικοί. ἄλλοι ἀπὸ αἱρέσεως, ὡς οἱ φιλαλήθεις, καὶ ἀπολεκτικοὶ, καὶ ἀναλογικοί. ἔμοι δ' ἀπὸ τῆς διδασκάλων, ὡς οἱ Σωκρατικοὶ καὶ Ἐπικούρειοι, καὶ τὰ ὅμοια. Οἱ μὲν, ἀπὸ τῆς αἱρέσεως προσηγορίας, φυσικοί εἰσιν, ἀπὸ

τῆς περὶ τὰ ἤθη θεωρίας, ἠθικοί. διαλεκτικοὶ δ', ὅσοι περὶτὴν τῶν λόγων περιεργίαν κατατείβονται. Μέση δὲ φιλοσοφίας τέχνη, φυσικόν, ἠθικόν, διαλεκτικόν. φυσικὸν μέν, τὸ περὶ κόσμου, καὶ τῶν ἐν αὐτῷ· ἠθικὸν δέ, τὸ περὶ βίου καὶ τῶν πρὸς ἡμᾶς· διαλεκτικὸν δέ, τὸ ἀμφοτέρων τούτοις λόγοις παρεσκευῶσθαι. καὶ μέχρι μὲν Ἀρχελάου τὸ φυσικὸν εἶδος ἦν· ἀπὸ δὲ Σωκράτους, ὡς παρείληπται, τὸ ἠθικόν· ἀπὸ δὲ Ζήνωνος τοῦ Ἐλεάτου, τὸ διαλεκτικόν. τοῦ δὲ ἠθικοῦ γεγόνασιν αἱρέσεις δέκα, Ἀκαδημαϊκή, Κυρηναϊκή, Ἡλιακή, Μεγαρική, Κυνική, Ἐρετριακή, Διαλεκτική, Περιπατητική, Στωϊκή, Ἐπικούρειος. Ἀκαδημαϊκῆς μὲν οὖν τῆς ἀρχαίας προέστη Πλάτων, τῆς μέσης Ἀρκεσίλαος, τῆς νέας Λακύδης, Κυρηναϊκῆς Ἀρίστιππος ὁ Κυρηναῖος, Ἡλιακῆς Φαίδων ὁ Ἠλεῖος, Μεγαρικῆς Εὐκλείδης Μεγαρεύς, Κυνικῆς Ἀντισθένης ὁ Ἀθηναῖος, Ἐρετριακῆς Μενέδημος Ἐρετριεύς, Διαλεκτικῆς Κλεινόμαχος Καρχηδόνιος, Περιπατητικῆς Ἀριστοτέλης Σταγειρίτης, Στωϊκῆς Ζήνων Κιτιεύς. ἡ δὲ Ἐπικούρειος ἀπ' αὐτοῦ κέκληται Ἐπικούρου. Ἵππόβοτος δ' ἐν τῷ περὶ αἱρέσεων, ἐννέα φησὶν αἱρέσεις καὶ ἀρχὰς εἶναι· πρώτην Μεγαρικήν, δευτέραν Ἐρετριακήν, τρίτην Κυρηναϊκήν, τετάρτην Ἐπικούρειον, πέμπτην Ἀννικέρειον, ἕκτην Θεοδώρειον, ἑβδόμην Ζηνώνειον, τὴν καὶ Στωϊκήν, ὀγδόην Ἀκαδημαϊκὴν τὴν ἀρχαίαν, ἐνάτην Περιπατητικήν. οὔτε δὲ Κυνικήν, οὔτε Ἠλιακήν, οὔτε Διαλεκτικήν. τὴν μὲν γὰρ Πυῤῥώνειον οὐδὲ εἰπεῖν τις ἂν ποιοῖτο, διὰ τὴν ἀσάφειαν. ἔνιοι δὲ κατά τι μὲν αἵρεσιν εἶναι φασὶν αὐτήν, κατὰ τί δὲ οὔ. δοκεῖ μὲν γὰρ αἵρεσις εἶναι. αἵρεσιν δὲ λέγομεν (φασὶ) τὴν λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσαν, ἢ δοκοῦσαν ἀκολουθεῖν· καθ' ὃ ἀλόγως ἂν αἵρεσιν τὴν σκεπτικὴν καλοῖμεν. εἰ δὲ αἵρεσιν νοοῖμεν

πρείσκλιτον ἐν δόγμασιν ἀκολουθίαν ἔχοντες, οὐκέτ' ἂν πρεσβεύοιτο αἵρεσις· οὐ γὰρ ἔχει δόγματα. εἰσὶ μὲν ἀρχαὶ καὶ διαδοχαὶ, καὶ τοσαῦτα μέρη καὶ πάσαι φιλοσοφίας αἱρέσεις. ἔστι δὲ καὶ σκληπτικὴ τις αἵρεσις εἰσηγήσατο δὲ Πυρρώνειος τῆς Ἀλεξανδρέως, σκλεξαμένη τὰ ἀρέσκοντα ἐξ ἑκάστης τῶν αἱρέσεων. ἀρέσκει δ' αὐτῷ, (καθά φησιν ἐν τῇ συγγράμματι τῆς ἀληθείας ἔστι), τὸ μὴ, ὡς ἐφ' οὗ γίνεται ἡ κρίσις, πολλὰ τὸ ἡγεμονικὸν τὸ εἶναι, ὡς δι' οὗ, ἢ τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων, τὴν τε ὕλην καὶ τὸ ποιὸν, κίνησίν τε καὶ πάθος. ἐξ οὗ γὰρ ἢ ὑφ' ὃ ἢ πρὸς ἢ ἐν ᾧ. τέλος δὲ ἔστι, ἐφ' ὃ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, ἐν αὐτῷ τῷ σώματος καὶ φύσιν ἔχειν τὸ σκέπτεσθαι. λεκτέον δὲ περὶ αὐτῶν τῶν αἱρέσεων, καὶ πρῶτον περὶ Θαλοῦ.

ΘΑΛΗΣ.

ΗΝ πόλιν ὁ Θαλῆς, ὡς μὲν Ἡρόδοτος καὶ Δοῦρις καὶ Δημόκριτος φασὶν, πατρὸς μὲν Ἐξαμίου, μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῶν Θηλιδῶν, οἵ εἰσι Φοίνικες, ἀναμίξαι τοι τῶν ἀπὸ Κάδμου καὶ Ἀγήνορος, καθά καὶ Πλάτων φησί. καὶ τῶν τοὺς σοφοὺς ὠνομάσθη ἄρχοντες Ἀθήνησι Δαμασίου, καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὡς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ. ἐπλησιάσθη δὲ ἐν Μιλήτῳ, ὅτε ἦλθε σὺν Νειλέῳ ἐκπεσόντι Φοινίκης. ὡς δ' οἱ πλείους φασὶν, ἰθαγενὴς Μιλήσιος ἦν, καὶ γηγενὴς λαμπρός. μετὰ δὲ τὰ πολιτικὰ τῆς φυσικῆς ἐπράγματεύετο θεωρίας, καὶ κατ' ἄρας μὲν σύγγραμμα κατέλιπεν οὐδέν. ἡ γὰρ εἰς αὐτὸν ἀναφερομένη ναυτικὴ ἀστρολογία, Φώκου λέγεται εἶναι τοῦ Σαμίου (Καλλίμαχος δ' αὐτὸν οἶδεν εὑρετὴν τῆς ἄρκτου τῆς μικρᾶς, λέγων ἐν τοῖς ἰάμβοις οὕτως,

καὶ τῆς ἀμάξης ἐλέγετο σαθμήσασθαι

Τοὺς ἀστείσκους, ἢ πλέοσι Φοίνικες) κατά τινας ὃ δύο μόνα σημέγραψι, τὴν ἔω τῆς καὶ ἑσπέρας, τὰ δ' ἄλλα καταλιπὰ ἔτη δεκμάσας. δοκεῖ δὲ κατά τινας τοῦτος ἀστρολογῆσαι, καὶ ἡλιακὰς ἐκλείψις τε ἔω καὶ σελήνης προειπεῖν, ὥς φησιν Εὔδημος ἐν τῇ τῶν ἀστρολογουμένων ἱστορίᾳ· ὅθεν αὐτὸν καὶ Ξενοφάνης καὶ Ἡρόδοτος θαυμάζει. μαρτυρεῖ δ' αὐτῷ καὶ Ἡράκλειτος καὶ Δημόκριτος. ἔνιοι δὲ καὶ αὐτὸν τοῦτον εἰπεῖν φασιν ἀθανάτους τὰς ψυχάς· ὧν ἐστι Χοιέλλος ὁ ποιητής. τοῦτος δὲ καὶ τὴν ἀπὸ ἔω τῆς ἐπὶ ἑσπέραν πάροδον εὗρε, καὶ τοῦτος τὸ τοῦ ἡλίου μέγεθος τοῦ σελληναίου ἑπτακοσιοστὸν καὶ εἰκοστὸν μέρος ἀπεφήνατο, κατά τινας. τοῦτος δὲ καὶ τὴν ὑστέραν τοῦ μηνὸς, τεσσαρακάδα εἶπε. τοῦτος δὲ κατὰ φύσεως διελέχθη, ὥς τινες. Ἀναξιμένης δὲ καὶ Ἵππίας φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχάς, πεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. τοῦτόν τε Αἰγυπτίων γεωμετρεῖν μαθόντα φησὶ Παμφίλη τοῦτον καταγράψαι κύκλου τὸ τρίγωνον ὀρθογώνιον, καὶ θῦσαι βοῦν. οἱ δὲ Πυθαγόραν φασὶν, ὧν ὅστιν Ἀπολλόδωρος ὁ λογιστικός. ἔοικε δὲ μᾶλλον ὅτι πλεῖον ἃ φησι Καλλίμαχος ἐν τοῖς ἰάμβοις Εὔφορβον εὑρεῖν τὸν Φρύγα· οὗ σκαληνὰ καὶ τρίγωνα, καὶ ὅσα γραμμικῆς ἔχεται θεωρίας· δοκεῖ δὲ καὶ ἐν τοῖς πολιτικοῖς ἄριστα βεβουλεῦσθαι. Κροίσου γὰρ πέμψαντος πρὸς Μιλησίους ὅτι συμμαχίαν ἐκφόβησον ὅπως, Κύρου κρατήσαντος, ἔσωσε τὴν πόλιν. καὶ αὖτις δέ φησιν ὡς Ἡρακλείδης ἱστορεῖ μοναρχῆσαι αὐτὴν γενέσθαι καὶ ἰδιώτην. ἔνιοι δὲ καὶ γῆμαι αὐτὸν, καὶ Κίβισον υἱὸν ἔχειν. οἱ δὲ, ἄγαμον μεῖναι, τῆς δὲ ἀδελφῆς τὸν υἱὸν θέσθαι. ὅπερ καὶ ἐρωτηθέντα δι' ἣ οὐ τεκνοποιεῖ, Διὰ φιλοπαιδίαν, εἰπεῖν. καὶ λέγουσιν ὅτι τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι, Νὴ Δία, ἔλεγε, οὐδέπω καιρός. εἶτα, ἐπειδὴ παρῆβησεν, ἐγκει-

μῆνες, εἰπεῖν, εὐκέπ καιρός φησι καὶ ὁ Ῥόδιος Ἐρατόσθενης ἐν τῷ δευτέρῳ τῶν ἀποφάσεων ἱστορικῷ, ὅπ βουλόμενος δεῖξαι ῥᾴδιον εἶν πλουτεῖν, φορᾶς μελλούσης ἐλαιῶν ἔσεσθαι, προιόντας ἐμισθώσατο τὰ ἐλαιουργεῖα, καὶ πάμπολλα συνέλεξε χρήματα. ἀρχὴν δ' τῶν πάντων ἰδωρικόσατο, καὶ τὸν κόσμον ἔμψυχον καὶ δαιμόνιον πλήρη. τὰς πόλεις τὸ σιωπᾶν φασὶν αὐτὸν θύειν, καὶ εἰς τελετὰς ἐξήκοντα πέντε ἡμέρας διελεῖν. οὐδείς πω αὐτῷ καθυμνήσατο, πλὴν ὅτ' εἰς Δίγμητον ἐλθὼν τοῖς ἱερεῦσι συνδιέβιβασεν. ὁ δ' Ἱερώνυμος καὶ ἐκμετρῆσαι φησὶν αὐτὰς τὰς προσαμίδας, ἐκ τῆς σκιᾶς βαδίσαντα ὅπ ἡμῖν ἰσομεγέθης εἰσί. σωτίβιον δ' καὶ Θρασυβούλῳ τῷ Μιλησίῳ τοῦτο γράφει, καθά φησι Μιτύης. τὰ δ' ὧδε πη πεπόδα, φασὶ, τὴν θύρεθρα ὑπὸ τῶν ἡλίων, ἃ δὴ παμφάγα τοῖς σοφοῖς ὑπὸ τοῦ δήμου τῶν Μιλησίων. φασὶ γὰρ Ἰωνικὰς ναῦς ναυσὶν εἴκοσι ἀγορᾶσαι παρὰ Μιλησίων ἁλιέων· αἰασαμένης δὲ πὸ πείσεως, ἀμφισβήτησις ἐγένετο. ἕως οἱ Μιλήσιοι ἔπεμψαν εἰς Δελφούς, καὶ ὁ θεὸς ἔχρησεν οὕτως,

Ἔκγονε Μιλήτου πείσεος πόθι Φοῖβον ἐρωᾷς;

Τίς σοφίη ταύτων ἀμφιπολεῖς; ὦ πυθόπεπ' αὐδῶ. δίδωσι κῦδος Θαλῇ, ὁ δ' ἄλλῳ, καὶ δίκης δίκῳ, ἕως Σόλωνος. ὁ δ' ἔφη σοφίαν ἀμφιπολεῖν εἶν τὸ θεόν, καὶ ἀπίσχλει εἰς Δελφούς. ὧν τὰ δὴ ὁ Καλλίμαχος ἐν τοῖς ἰάμβοις ἄλλως ἱστορεῖ, παρὰ Λεανδρίῳ λαβὼν τῷ Μιλησίου. Βαθυκλέα γάρ τινα Λεκάδε φιάλην καταλιπεῖν, καὶ ὅπισκῆψαι δοῦναι τὴν σοφὸν τῷ σοφωτάτῳ. ἐδόθη δὴ Θαλῇ, καὶ κῦ' ἀφίκοτο πάλιν Θαλῆν. ὁ δ' τῷ Διδυμαίῳ Ἀπόλλωνι ἀπίσχλει, εἰπὼν οὕτως, κῦ τὰ Καλλίμαχον,

Θαλῆς μὲ τῷ μιδέων τῶ Νειλέω δόμου

Δίδωσι, πῶπ δὶς λαβὼν ἀφίκετ'ον. τὸ δ' πίζει οὕτως ἔχ. Θαλῆς Ἑξαμίου Μιλήσιος Ἀπόλλωνι Δελφινίῳ

Ἑλλώων ἀριστῆον δὶς λαβών. ὁ δ' ἀνειενεγκὼν πρὸ φιάλω τῷ Βαθυκλέους παῖς, Θυείων ἐκαλεῖτο, καθά φησιν Ἔλθυσις ἐν τῷ περὶ Ἀχιλλέως, καὶ Ἀλέξων ὁ Μωύλος ἐν ἀντάτῳ μυθικῶν. Εὔδοξος δ' ὁ Κνίδιος καὶ Εὐαίθης ὁ Μιλήσιος φασὶ πρὸς Κροίσου λιτὰ φίλων λαβεῖν πρὸς δὲ βασιλέως πτηνὸν χρυσοῦν, ὅπως δῶρ τῷ Σφωπάτῳ πρὸς Ἑλλώων. τὸν δὲ δοῦναι Θαλῆ, καὶ περιελθεῖν εἰς Χείλωνα. ὃν πυθόμενον παρὰ τοῦ Πυθίου τίς ἀπὸ σοφώτερος· καὶ τὸν εἰπεῖν Μίσωνα, περὶ οὗ λέγομεν. ὕστερον οἱ περὶ τὸν Εὔδοξον αἰτοῦσι Κλεοβούλου λιθάσαι, Πλάτων δ' αἰτοῦ Περιάνδρου. περὶ οὗπερ δὴ πάλαι εἰρηται ὁ Πύθιος,

Οἰκῶν πρὸ φημὶ Μύσων' ἐν Χλωῖ γλυκέσθαι,
Σοὶ μᾶλλον περαπίδεσιν ἀνηρόπα πυκαλίμησιν.

ὁ δ' ἐρωτήσας ἦν Ἀνάχαρσις. Δαίδαχος δ' ὁ Πλατωνικὸς καὶ Κλέαρχος φιάλην ἀποσαλῶσαι ὑπὸ Κροίσου Πιτακῷ, καὶ οὕτω περιενεχθῆναι. Ἄνδρων δ' ἐν τῷ περὶ, Ἀργείους ἆθλον ἀρετῆς ὦ Σφωπάτῳ τ' Ἑλλώων περὶ πόδα θῆναι· κριθῆναι δ' Ἀεισόδημον Σπαρτιάτην, ὃν παραχωρῆσαι Χείλωνι. μέμνηται δ' Ἀεισοδήμου καὶ Ἀλκαῖος ὕπως,

Ὡς γὰρ δή ποτ' Ἀεισόδαμον φασὶν ἐκ ἀπάλαμνον
ἐν Σπάρτᾳ λόγον εἰπεῖν, Χρήμαθ' ἁνήρ, πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσθλός.

ἔνιοι δέ φασιν ὑπὸ Περιάνδρου Θρασυβούλῳ ὦ Μιλησίων τυράννῳ πλοῖον ἔμφορτον ἀποσαλῶσαι. τὸ δὲ περὶ τὴν Κῶαν θάλασσαν ναυαγήσαντος, ὕστερον θρεθῆναι πρὸς ἁγνῶν ἁλιέων τὸν τρίποδα. Φανόδικος δὲ περὶ τὴν Ἀθηναίων θάλασσαν θρεθῆναι, καὶ ἀνενεχθέντα εἰς ἄστυ, χρωμένης ἐκκλησίας, Βίαντα προφθῆναι. διὰ τί δ', ἐν τῷ περὶ Βίαντος λέγομεν. ἄλλοι φασὶν ἁφαιρεθέντα ὑπ' αὐτῶν, καὶ δοθῆναι πρὸς τὸ θεοῦ Πέλοπι γαμοῦντι. αὖθις τε εἰς Μενέλαον ἐλθεῖν, καὶ ζητεῖν τὴν Ἑλένην· ἀφ' οὗπερ

ὑπὸ Ἀλεξάνδρου ῥιφθῆναι εἰς τὴν Κῶαν θάλασσαν πρὸς τῆς Λαρίσσης, εἰπούσης ὅτι πρεσμάχητος ἔσται. χρόνῳ δὲ Λεβεδίων ζῶντι αὐτῷ χύτραν ὠπτημβίων, καταληφθῆναι καὶ τὸ πεῖσμα μαχομένων διὰ πρὸς τὰς ἀγίας, φυέσθαι τὴν αἴσθησιν ἕως τῆς Κῶ· καὶ ὡς οὐδὲν ἰωῦσιον, τοῖς Μιλησίοις μηδοπόλει οὖσι μιαιφόνοις. οἱ δ' ἐπειδὴ διαφερόμενοι πρὸς τοὺς Κώους πολεμοῦσι. καὶ πολλῶν ἐκατέρων πιπτόντων, ἐκπίπτει χρησμὸς δεινῶν τοῦ στρατηγοῦ καὶ ἀμφίπτωσιν ἡμιτέων Θαλῆν. ὁ δὲ μὴ τὸ πρόσωπον τοῦ Διδυμαίου πόθεσιν Ἀπόλλωνι. Κάκεις μὲν οὕτω πως ἐχρήσθη τὸν τρόπον,

Μή σε πρὸς λίξει τῆχος μεροπῶν καὶ Ἰώνων,
Περὶ πεῖσμα χύτρον, ὃν Ἥφαιστος βάλε πόντῳ,
Ἐκ πόλιος πέμψαντ', ἐς δόμον αἰθρὸς ἵκηται
Ὅς δεδάπεδαι τ' ὄϊσα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

Μιλησίοις δέ,

Ἔσχατε Μιλήτου πείσματος πέλει Φοῖβον ἑρωΐζειν ὡς προείρηται. καὶ πάλε μὲν οὕτως. Ἕρμιππος δέ φησιν ἐν τοῖς βίοις, εἰς τὸν αἰαφέρει τὸ λεγόμενον ὑπό τινων περὶ Σωκράτους. Ἐφασκε γάρ, φησί, τρισὶν οὕτως ἐπὶ χάριν ἔχειν τῇ τύχῃ. πρῶτον μέν, ὅτι ἄνθρωπος ἐγενόμην, καὶ οὐ θηρίον· εἶτα, ὅτι ἀνήρ, καὶ οὐ γυνή· τρίτον, ὅτι Ἕλλην, καὶ οὐ βάρβαρος. λέγεται δ' ἀγόμενος ὑπὸ χαλκοῦ ὀκτὼ εἰκόνας, ἵνα τὰ ἄκρα καταυλήσῃ, εἰς βόστρον ἐμπεσεῖν. καὶ εἰπεῖν αἰνιττόμενος φαίνεσθαι τὴν χαλκῆν, Σὺ γὰρ, ὦ Θαλῆ, τὰ ἀφανῆ οὐ δυνάμενος ἰδεῖν, τὰ ὀπίσω τοῦ οὐρανοῦ εἶναι γινώσκεις, οἷόν δὴ καὶ ἀστρονομούμενον καὶ Τίμων. καὶ ἐν τοῖς Σίλλοις ἐπαινεῖ αὐτὸν, λέγων,

Οἷόν θ' ἑπτὰ Θάλητα σοφῶν σοφὸν ἀστρονόμημα.

τὰ δὲ γεγραμμένα ὑπ' αὐτοῦ φησὶ Λόβων ὁ Ἀργεῖος εἶναι πίνακα δίφθονα. ὑπογεγράφθαι δ' αὐτοῦ ὅτι τῆς οἰκείας πάσης,

Τόνδε Θαλῆν Μίλητος ἰὰς ἐκ φρένας ἀνέδειξεν

Ἀστρολόγον πάντων σοφιστάτην σοφίᾳ. πῶς τε ἀδαμάντινον αὐτὸ πάδε εἶπε), Οὔπω τὰ πολλὰ ἔπη φρονίμως ἀπεφήνατο δόξαν. ἓν τι μάτευε σοφὸν, ἓν τι κεδνὸν αἱρεῖσθαι. λύσης γὰρ ἀνδρῶν κωφῶν γλώσσας ἀφραντολόγους. φέρεται δὲ ἀποφθέγματα αὐτοῦ τάδε, σοφιστάτην πάντων ὄντων, θεὸς ἀγήρατον· κάλλιστον, κόσμος· ποίημα γὰρ θεοῦ. μέγιστον, τόπος· ἅπαντα γὰρ χωρεῖ. τάχιστον, νοῦς· διὰ παντὸς γὰρ τρέχει. ἰσχυρότατον, ἀνάγκη· κρατεῖ γὰρ πάντων. σοφώτατον, χρόνος· ἀνευρίσκει γὰρ πάντα. οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. Σὺ οὖν (ἔφη τις) διὰ τί οὐκ ἀποθνήσκεις; Ὅτι, ἔφη, οὐδὲν διαφέρει. πρὸς τὸν πυθόμενον τί πρότερον ἐγένετο, νὺξ ἢ ἡμέρα, Ἡ νὺξ (ἔφη) μιᾷ ἡμέρᾳ πρότερον. ἐρωτήσας αὐτὸν εἰ λήθει θεοὺς ἄνθρωπος ἄδικῶν, Ἀλλ' οὐδὲ διανοούμενος, ἔφη. πρὸς τὸν μοιχὸν, ἐρόμενον εἰ ὀμόσας μὴ μεμοιχεύκεναι, Οὐ χεῖρον (ἔφη) μοιχείας ἐπιορκία. ἐρωτηθεὶς τί δύσκολον, ἔφη, τὸ ἑαυτὸν γνῶναι· τί δὲ εὔκολον, τὸ ἄλλῳ συμβουλεῦσαι· τί ἥδιστον, τὸ εὐτυχεῖν· τί τὸ θεῖον, τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν. τί δύσκολον εἴη πεθεσμένος, Γέροντα (ἔφη) τύραννον. πῶς ἄν τις ἀτυχίαν ῥᾳδίαν φέροι, Εἰ τοὺς ἐχθροὺς χεῖρον πράσσοντας βλέποι. πῶς ἂν ἄδεια καὶ δικαίως βιώσαιμεν, Ἐὰν ἃ τοῖς ἄλλοις ἐπιπλήττομεν, αὐτοὶ μὴ δρῶμεν. πῶς εὐδαίμων, Ὁ τὸ μὲν σῶμα ὑγιὴς, πλὴν ἢ τύχῃ εὔπορος, ἢ ψυχῇ ἀπαίδευτος. φίλων παρόντων καὶ ἀπόντων μεμνῆσθαι φησὶ. μὴ πλὴν ὧν καλλωπίζεσθαι, ἀλλὰ τοῖς ἐπιτηδεύμασιν εἶναι καλόν. Μὴ πλούτει (φησὶ) κακῶς, μηδὲ διαβαλλέτω σε λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας. Οὓς ἂν ἐθέλοις εἰσενέγκης (φησὶ) τοῖς γονεῦσι, τούτοις αὐτὸς πρόσδεχου καὶ πρὸ τῶν τέκνων. τὸν Νεῖλον εἶπε πλημμύρειν ἀνακοπτομένων τῶν ῥευμάτων ὑπὸ τῶν ἐτησίων ἀνέμων ἐπιόντων. φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς γεγ-

γῆσθαι αὐτὸν κτ' τὸ τρίτον ἔτος τῆς τετρακοστῆς πέμπτης ὀλυμπιάδος. ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτώ, ἢ (ὡς Σωσικράτης φησὶν) ἐνενήκοντα. τελευτῆσαι δ' αὐτὸν τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος, γεγονότα κτ' Κροῖσον, ὡς καὶ τὸν Ἄλυν ὑποτρέχειν αὐθυμφύεσι τράσιν, τὸ ῥεῖθρον διαπερῶντα. γεγόνασι δὲ καὶ ἄλλοι θαλῆ (κατά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις) πέντε. ῥήτωρ Καλατιανὸς, κακόζηλος· ζωγράφος Σικυώνιος, μεγαλοφυής· τρίτος ἀρχαῖος ποιητὴς, κτ' Ἡσίοδον καὶ Ὅμηρον καὶ Λυκοῦργον· πέμπτος, οὗ μέμνηται Δοῦρις ἐν τῷ περὶ ζωγραφίας· πέμπτος, νεώτερος, ἄδοξος, οὗ μνημονεύει Διονύσιος ἐν Κελτικοῖς. ὁ δ' οὖν σοφὸς ἐτελεύτησεν ἀγῶνα θεώμενος γυμνικὸν, ὑπό τε καύματος καὶ δίψους καὶ ἀσθενείας, ἤδη γηραιός· καὶ αὐτὸν ἐπιγράψαι τῷ μνήματι.

Ἦ ὀλίγον τόδε σῆμα, τὸ δὲ κλέος οὐρανόμηκες
Τῷ πολυφροντίστῳ ὑπὸ Θαλήτος ὄρη.

ἔστι δὲ παρ' ἡμῖν ἐς αὐτὸν ἐν τῷ τρόπῳ τῶν ἐπιγραμμάτων, ἢ παμμέτρῳ, ὧδὶ τὸ ἐπίγραμμα,

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον, ἠέλιε Ζεῦ,
Τὸν σοφὸν αἶψα Θαλῆν ἥρπασας ἐκ σταδίων.
Αἰνέω ὅτι μὲν ἐγκὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς
Οὐκέτ' ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο. τοῦτον δὲ τὸ Γνῶθι σαυτόν· ὅνπερ Ἀντισθένης ἐν ταῖς διαδοχαῖς Φημονόης εἶναί φησιν, ἐξιδιοποιήσασθαι ἢ αὐτὸ Χείλωνα. ὧδὲ δὴ τῶν ἐπῶν (αὔξεται γὰρ ἀνθρώπινα καθολικῶς κἀκείνων ἐπιμνησθῶμεν) λόγοι φέρονται τοιοίδε. Δάμων ὁ Κυζικηνὸς, μεγαφώνως ὧδὲ τῶν φιλοσόφων, πᾶσιν ἐγκαλεῖ, μάλιστα δ' τοῖς ἐπῶν. Ἀναξιμένης δέ φησι πάντας ὅσοι δέδωκε πιθανῶς. ὁ δ' Δικαίαρχος οὔτε σοφοὺς οὔτε φιλοσόφους φησὶν αὐτοὺς γεγονέναι, σωφρονεστέρους δέ τινας καὶ νομοθετικούς. Ἀρχέπολις δ' ὁ Συρακούσιος ὁμιλίαν αὐτῶν γεγραφέναι

περὶ Κυψέλῳ, ἣ καὶ αὐτὸς φησι περιτυχεῖν· Εὔφορος δὲ παρὰ Κροίσῳ, πλὴν Θαλοῦ. φασὶ δέ τινες καὶ ἐν Παιονίᾳ καὶ ἐν Κορίνθῳ καὶ ἐν Δελφοῖς συνελθεῖν αὐτούς. διαφωνοῦνται δὲ καὶ ἀποφάσεις αὐτῶν, καὶ δηλα ἄλλο φασὶν εἶναι, ὡς ἐκεῖνο,

Ἦν Λακεδαιμόνιος Χείλων σοφὸς, ὃς πάλ' ἔλεξε,

Μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά. σποράζεται δὲ καὶ περὶ τὸν ἀριθμὸν αὐτῶν. Λεανδρίου μὲν γὰρ αὐτὰ Κλεοβούλου καὶ Μύσωνος Λεώφαντον Γορσάδα, Λεβέδιον ἢ Ἐφέσιον ἐγκρίνει, καὶ Ἐπιμενίδου τὸν Κρῆτα· Πλάτων δ' ἐν Πρωταγόρᾳ Μύσωνα αὐτὰ Περιάνδρου. Εὔφορος δὲ αὐτὰ Μύσωνος Ἀνάχαρσιν. οἱ δὲ καὶ Πυθαγόραν παρεγγράφουσι. Δικαίαρχος δὲ τέτταρας ὁμολογουμένους ἡμῖν παραδίδωσι, Θαλοῦ, Βίαντα, Πιττακὸν, Σόλωνα. ἄλλους δὲ ὀνομάζει ἕξ, ὧν ἐκλέξασθαι ῥᾴδιον, Ἀεισόδημον, Πάμφιλον, Χείλωνα Λακεδαιμόνιον, Κλεόβουλον, Ἀνάχαρσιν, Περίανδρον. ἔνιοι παρεισάγουσιν Ἀκουσίλαον, Κάβαν ἢ Σκάβαν, Ἀργεῖον. Ἕρμιππος δ' ἐν τῷ περὶ τῶν σοφῶν, ἑπτακαίδεκά φησιν, ὧν τοὺς ἑπτὰ, ἄλλους δήπου αἱρεῖσθαι· εἶναι δὲ, Σόλωνα, Θαλοῦ, Πιττακὸν, Βίαντα, Χείλωνα, Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδου, Λεώφαντον, Φερεκύδου, Ἀεισόδημον, Πυθαγόραν, Λάσον Χαρμαντίδου ἢ Σισυμβρίνου, ἢ (ὡς Ἀεισόξενος) Χαβρίνου· Ἑρμονέα, Ἀναξαγόραν. Ἱππόβοτος δ' ἐν τῇ τῶν φιλοσόφων ἀναγραφῇ, Ὀρφέα, Λίνον, Σόλωνα, Περίανδρον, Ἀνάχαρσιν, Κλεόβουλον, Μύσωνα, Θαλοῦ, Βίαντα, Πιττακὸν, Ἐπίχαρμον, Πυθαγόραν. φέρουσι δὲ καὶ τοῦ Θαλοῦ ὑποθήκας αἵδε.

Θαλοῦ Φερεκύδῃ.

Πεπυσμένος σε πρῶτον Ἰώνων μέλλειν λόγους ἀμφὶ τῶν θείων χρημάτων εἰς τοὺς Ἕλληνας φαίνειν. κατὰ μὲν γνώμην δικαίην, ἐς τὸ ξυνὸν καταθέσθαι γραφάς,

μᾶλλον ἢ ἐφ' ὁπισισιῶ ὅπῃ τρέπει χρῆμα εἰς αὐδὲν ὄφελος. εἰ δή πι ἥδιον, ἐθέλω γλυκάδαι λεσχινωτὴς ἀεὶ ἐπέων χαφεὶς· καὶ ἰὼ κελεύης, ἀλλά σε ἀφίξομαι ἐς ὕρον. ἢ γὰ αὖ οὐ φρενήρεες εἰκιμὲν ἐγώ τε καὶ Σόλων ὁ Ἀθηναῖος, πλώσαιπις μὲν ἐς Κρήτιω κῇ πιὼ κείθι ἰσοείλω, πλώσαιπις ᾗ ἐς Αἴγυπον, ὁμιλήσαιπις τοῖς ἐκείνη ἔσοι ἱερέες τε καὶ ἀσρονόμοι· ἀλλά σε ᾗ μὴ πλώσαιμὲν. ἤξει γὰ καὶ ὁ Σόλων, ἰὼ ὅπῃ τρέπῃς. σὺ μὲν πι χωροφιλέων, ὁλίζα φοιτέων ἐς Ἰωνίω. οὐδέ σε πρὸ ἴχῃ αἰδρῶν ξείνων, ἀλλά (ὡς ἔλπομαι) ἐνὶ μουνώῳ χρήμπι πρέσσαι, τῇ χαφῇ. ἡμεῖς ᾗ οἱ μινδὲν χάφπες ἀπειχορέομὲν πιὼ τε Ἑλλάδα καὶ Ἀσίω.

Θαλῆς Σόλωνι.

Ὑπαπσας ἐξ Ἀθηναίων δοκέεις αὖ μοι ἀρμοδιώπαζα ἐν Μιλήτῳ οἶκον ποιέεσθαι ἀπὸ τοῖς ἀποίκοις ὑμέων. χὴ γὰ ἐνθαῦπά πι δίκαιον οὐδέν. εἰ ᾗ ἀφαλήσῃς ὅπι ἐν Μιλήσοι τυφαννεόμεθα (ἐχθαίρεις γὰ πάντας αἰσυμνήπας) ἡμὰ πέρπιο αὖ ζωὸν τοῖς ἑπαίροις ἡμῖν καπαβιοῦ. ἐπέσειλε δέ σοι καὶ Βίης ἥκειν ἐς Πειλιώλω· σὺ ᾗ εἰ φοιλιωέσερόν πι τὸ Πειλιωίων ἄσυ κείθι οἰκέειν, χὴ αὐπὶ ἀλλά σε οἰκήσομὲν.

ΣΟΛΩΝ.

ΣΟΛΩΝ Ἐξηκεσίδου Σαλαμίνιος, φοῖπον μὲν ἐσσάχθειαν εἰσηγήσαπο Ἀθηναίοις. τὸ ᾗ ἰὼ λύπρωσις ὠμῷ πι καὶ κπημῷ. καὶ γὰ ὅπι σώμασιν ἐδανείζονπο, καὶ πολλοὶ δι' ἀπορίαν ἐθήπευον. ἐπεὶ δὴ ζαλαίπων ὀφειλομένων αὐπῷ παπρώων, σωεχώρησε φοῖπος, χὴ τοῖς λοιποῖς τὸ ὅμοιον φερύπρεφε φοιῆξαι. καὶ ὧδε ὁ νόμος ἐκλήθη σισάχθεια. φανερὸν ᾗ δὴ πί. ἔπειδε τοῖς λοιποῖς νόμοις ἔθηκεν, οὐ μακρὸν αὖ ἦν διεξιέναι, καὶ ἐς τοὺς ἄξονας

ἀξίους κατέστησε. τὸ δὲ μέγιστον, τῆς πατρίδος αὐτὸ ἀμφισβητουμένης, δηλονότι τῆς Σαλαμῖνος, ὑπό τε Ἀθηναίων καὶ Μεγαρέων, καὶ πολλάκις τῶν Ἀθηναίων ἐπαισχόντων ἐν τοῖς πολέμοις, καὶ ψηφισαμένων εἴ τις ἔτι συμβουλεύοι περὶ Σαλαμῖνος μάχεσθαι, θανάτῳ ζημιοῦσθαι· οὗτος μαίνεσθαι ποιησάμενος, καὶ στεφανωσάμενος εἰσέπεσεν εἰς τὴν ἀγοράν. ἔνθα τοῖς Ἀθηναίοις ἀνέγνω διὰ τοῦ κήρυκος τὰ συγκείμενα περὶ Σαλαμῖνος ἐλεγεῖα, καὶ παρώρμησεν αὐτούς. καὶ αὖθις περὶ τοῖς Μεγαρέας ἐπολέμησε, καὶ ἐνίκησε διὰ Σόλωνα. ἔστι δὲ τὰ ἐλεγεῖα ἃ μάλιστα καὶ θαρραλέα τῶν Ἀθηναίων, ταῦτα·

Εἴλιον εἰς εὐρύχορον ἔγω Φολεγάνδριος ἦα
Ἀντὶ γὰρ Ἀθηναίου, πατρὶς ἀμειλίχιος.
Αἶψα γὰρ αὐτὸ φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο.
Ἀττικὸς ἐστὶν ἀνὴρ τὴν Σαλαμῖν' ἀφέντων.

εἶτα,

Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου
Ἱμερτῆς, χαλεπὸν τ' αἶσχος ἀπωσόμενοι. ἔπεισε δὲ αὐτοὺς καὶ τὴν ἐν Θράκῃ Χερρόνησον προσκτήσασθαι. ἵνα δὲ μὴ δοκοίη βίᾳ μόνον, ἀλλὰ καὶ δίκῃ τὴν Σαλαμῖνα κεκτῆσθαι, ἀναστήσας γυναῖκας πάσας, ἔδεξε τοῖς νεκροῖς τοῖς ἀναστολὰς ἐσταλμένοις, ὡς ἴδιον ἔθος θάπτειν Ἀθηναίοις. διὰ καὶ αὐτοὺς τοὺς τάφους πρὸς ἕω βλέποντας, καὶ ἀπὸ τῶν δήμων τοὺς χηματισμοὺς εἰσκεχαραγμένους, οὕσπερ ἴδιον Ἀθηναίων. ἔνιοι δέ φασι καὶ ἐγγράψαι αὐτὸν εἰς τὸν κατάλογον τῶν Ὁμήρου, μετὰ τὸν

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Στῆσε δ' ἄγαρ παρὰ νῆας ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες. τὸ δὲ λοιπὸν προσεῖχον αὐτῷ ὁ δῆμος, καὶ ἡδέως καὶ τυραννεῖσθαι ἤθελον παρ' αὐτοῦ. ὁ δ' οὐχ εἵλετο, ἀλλὰ καὶ Πεισίστρατον τὸν συγγενῆ, καθά φησι Σωσικράτης, φεύγοντα δῆμον, τὸ ἐφ' ἑαυτῷ διεκώλυσεν. ἤξας γὰρ εἰς γυναῖ. ἐκ-

κλησίαν μετὰ γέρακος καὶ ἀσπίδος, σημεῖον αὐτοῖς ὑπάρχειν τῶν Πεισιστράτου· καὶ οὐ μόνον, ἀλλὰ καὶ βοηθὸν ἔπιμος εἶναι λέγων ταῦτα, Ἄνδρες Ἀθηναῖοι, τῷ μὲν, σοφώτερος, τῷ δὲ, ἀνδρειότερος εἰμί. σοφώτερος μὲν τῶν τῶν ἀπάντων Πεισιστράτου μὴ συνιέντων· ἀνδρειότερος δὲ τῶν ὑπανδρευόντων μὲν, ἀνδρῶν δὲ οὐκ ὄντων. καὶ ἡ βουλὴ, Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταῦτα,

Δείξει δὴ μᾶλλον μὲν ἐμὸν βαιὸς χρόνος αἰσῖν,
Δείξει ἀληθείης ἐς μέσον ἐρχομένης. τὰ δὲ περὶ τῆς τοῦ Πεισιστράτου συγγενείας εἰρηκέναι αὐτὸν ταῦτα λέγουσιν,

Ἐκ τεφέλης φέρεται χιόνος βία οὐδὲ χαλάζης,
Βροντὴ τ' οὐκ λαμπρῆς γίνεται ἀστροπῆς·
Ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλυθ' εἰς ἓν μοναρχεῖν
Δῆμος ἀϊδρείῃ δουλοσύνῃ ἕπεσεν.

ἤδη δὲ αὐτοῦ κρατοῦντος οὐ πίθων, ἔθηκε τὰ ὅπλα πρὸ τοῦ στρατηγείου, καὶ εἶπεν, Ὦ πατρεῖς, βεβοήθηκά σοι λόγῳ καὶ ἔργῳ, ἀπέπλευσεν εἰς Αἴγινον καὶ εἰς Κύπρον. καὶ πρὸς Κροῖσον ἦλθεν· ὅτε καὶ ἐρωτηθεὶς ὑπ' αὐτοῦ, Τίς σοι δοκεῖ ὀλβιώτατος; Τέλλος (ἔφη) Ἀθηναῖος, καὶ Κλέοβις καὶ Βίτων, καὶ τὰ θρυλλούμενα. φασὶ δέ τινες ὅτι κοσμήσας ἑαυτὸν ὁ Κροῖσος παντοδαπῶς, καὶ καθίσας εἰς τὸν θρόνον, ἤρετο αὐτὸν εἰ τὶ θέαμα κάλλιον πέφανται. ὁ δὲ ἀλεκτρυόνας εἶπε, φασιανοὺς, καὶ ταῶς· φοινικοῦν γὰρ αἴθεσθαι κόσμον, καὶ μυρίῳ κάλλιον. ἐκεῖθέν τε ἀπαλλαγείς, ἐγένετο ἐν Κιλικίᾳ, καὶ πόλιν ᾠκισεν ἐγγὺς ἀπ' αὐτοῦ Σόλους ἐκάλεσεν. ὀλίγους τε πείσας τῶν Ἀθηναίων ἐγκατοικῆσαι, οἱ πρὸ χρόνου τινὸς φανερῶς ἀπεξενωθέντες σολοικίζειν ἐλέχθησαν. καί εἰσιν οἱ μὲν ἔνθεν, Σολεῖς· οἱ δὲ ἀπὸ Κύπρου, Σόλιοι. ὅτε δὲ τὸ Πεισίστρατον ἔμαθεν ἤδη τυραννεῖν, πάλιν ἔχαψε πρὸς τοὺς Ἀθηναίους,

Εἰ δ' ἐπόνησθε δεινὰ δι' ὑμετέρην κακότητα,
Μή πω θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.
Αὐτοὶ γὰρ τύραννον ηὐξήσατε, ῥίζαν δόντες,
Καὶ διὰ ταῦτα κακὴν ἕλκετε δουλοσύνην.
Ὑμέων γὰρ εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
Σύμπασι δ' ὑμῖν κοῦφος ἔνεστι νόος.
Εἰς γὰρ γλῶσσαν ὁρᾶτε, καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
Εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε. καὶ τοῦτ' ἐμὴ ταῦτα. Πεισίστρατος δ' αὖτῳ φύγοντι τὸν ἕτερον τὸν ἕτερον.

Πεισίστρατος Σόλωνι.

Οὔτε μόνος Ἑλλήνων τυραννίδι ἐπῆλθον, οὔτε ὡς οὐ δίκαιόν μοι, γῆμας ὄντα τῆς Κοδριδῶν. ἀνέλαβον γὰρ ἐγὼ ἃ ὁμόσαντες Ἀθηναῖοι παρέξειν Κόδρῳ τε καὶ τοῖς ἐκείνου γένεσι, ἀφείλοντο. τά τε ἄλλα ἁμαρτάνω οὐδὲν ἢ πρὸς θεοὺς ἢ πρὸς ἀνθρώπους· ἀλλὰ καθάπερ σὺ διέθηκας τοὺς θεσμοὺς Ἀθηναίοις, ὅπως μὴ πολιτεύσουσιν· ἢ κατὰ δημοκρατίαν· ἐμὲ γὰρ οὐδένα ὑβρίζειν. καὶ ὁ τύραννος ἐγὼ οὐ πλείω φέρομαι λαβὼν τῆς ἀρχῆς· ὁποῖα δὲ καὶ τοῖς πρὶν βασιλεῦσιν ἦν τὰ ῥητὰ γέρα. ἀπάγει δὲ ἕκαστος Ἀθηναίων τὸ αὐτὸ κλήρου δεκάτην, οὐκ ἐμοί, ἀλλὰ ὁπόθεν ἔσται ἀνάλωμα εἴς τε θυσίας δημοτελεῖς, καὶ εἴ τι ἄλλο τῶν κοινῶν, καὶ ἦν ὁ πόλεμος ἡμᾶς καταλάβῃ. σοὶ δ' ἐγὼ οὔτε μέμφομαι μισθώσαντι τὴν ἐμὴν διάνοιαν. δοκοῦσα γὰρ τῆς πόλεως μᾶλλον ἢ κατὰ τὸ ἐμὸν ἔχθος ἐμισθώσω· ἔτι τε ἀμαθίᾳ τῆς ἀρχῆς οἵᾳ ἔνα ἐγὼ καταστήσομαι, ἐπὶ μαθὼν, τάχα αὖ σοῦ καθεσταμένου, οὐ φεύξει. ἐπαίνῃ τοίνυν οἰκαδε, πιστεύων μοι καὶ ἀνωμότῳ, ἄχαρι μηδὲν πείσεσθαι Σόλωνα ὑπὸ Πεισιστράτου. ἴσθι γὰρ μηδ' ἄλλον ἕνα πεπονθέναι τῶν ἐμῶν ἐχθρῶν. σοὶ δὲ ἀξιώσεις τῶν ἐμῶν φίλων εἷς εἶναι, ἔσῃ αὐτὸ τοῦτο· (οὐ γὰρ ἂν ἐν σοὶ ἀνορῶ δολερὸν ἢ ἄπιστον) εἶπε· ἄλλως

Ἀθήνησιν οἰκεῖν, ὅπερ ἁψάμενον. ἡμῖν δ' ἐπέκεινα μὴ ἐξέρευνᾶν τῆς παιδείας.

τοῦτο μὲν Πεισίστρατος. Σόλωνα δὲ ὅρον αἰδοίου βίου φησὶν ἔτη ἑβδομήκοντα. δεκτὸν δ' καὶ κάλλιστα νομοθετήσαντα, εἰ μή τις μὴ τρέφῃ τοὺς γονέας, ἄτιμος ἔστω. ἀλλὰ καὶ τὰ πατρῷα κατεδηδοκὼς, ὁμοίως· καὶ ὁ ἄρχων, ὑπεύθυνος ἔστω παρὰ τὸν βουλομένου γράφεσθαι. Λυσίας δ' ἐν τῷ κατὰ Νικίου δέκατον φησὶ γεγράφθαι τὸν νόμον, Σόλωνα δ' εἰπεῖν μὴ τὸν ἀταμιεύτατον εἶναι τοῦ βίου τὸν ἄπορον. πωλεῖσθαι δ' καὶ τὰς ζωὰς τῶν ἐν ἀγῶσιν ἀθλητῶν, Ὀλυμπιονίκῃ μὲν πέντε ἑκατοντάδας δραχμῶν, Ἰσθμιονίκῃ δ' ἑκατόν, καὶ τοῖς ἄλλοις ἀπὸ τῶν ἄλλων. ἄτοπον καλὸν γὰρ ἀξιοῦσθαι τοὺς τούτων ζωάς. ἀλλὰ μόνον ἐκείνων τῶν ἐν πολέμοις τελευτησάντων, ὧν καὶ τοὺς υἱοὺς δημοσίᾳ τρέφεσθαι καὶ παιδεύεσθαι· ὅθεν καὶ εἰκότως καλοὶ κἀγαθοὶ γίνεσθαι τοὺς πολίτας· ὡς Πολύζηλος, ὡς Κυναίγειρος, ὡς Καλλίμαχος, ὡς σύμπαντες οἱ Μαραθωνομάχοι· ἔτι δὲ Ἀριστείδης καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης, ἔτι μυρίοι ὅσοι. ἀθληταὶ δὲ καὶ ἀσκοῦνδροι, πολυσάρκοι, καὶ οἱ κόπτες ὀπτοῖς, καὶ στεφανοῦσθαι τῆς παιδείας μᾶλλον ἢ τῶν αἰτιαγονισῶν. γέροντες τε γοῦν ὁμόμοροι τοῖς Εὐριπίδου,

Τείχων ἐκλείπουσι οἴκους πρόκας. ὅθεν σοφὸν ὁ Σόλων μετρίως αὐτοὺς ἀπεδέξατο χειλίους δὲ καὶ κείνο, Τὸν ὀπίσω τῆς ὄψεως μὴ τρέπειν, μηδὲ ὀπτεύειν, εἰς ὃν ἡ οὐσία ἔρχεται, τῶν ὀρφανῶν τελευτησάντων. κἀκεῖνο, Δακτυλιογλύφῳ μὴ ἐξεῖναι σφραγῖδα φυλάττειν τὸ παράπαν δακτυλίου. ἢ ἐὰν εἶεν ὀφθαλμοὶ ἔχοντες ὀκκώψῃς, αἰτιᾶσθαι τοὺς δύο. Ἂν μὴ ἔθου, μὴ αἰτεῖ· εἰ δὲ μή, θάνατος ἡ ζημία. Τῷ ἄρχοντι, ἂν μεθύων ληφθῇ, θάνατον εἶναι τὴν ζημίαν. τὰ τε Ὁμήρου ἐκ τῶν βολῶν γράφειν ῥαψῳδίαν, ἢ

ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον. μᾶλλον οὖν Σόλων Ὅμηρον ἐφώτισεν ἢ Πεισίστρατος, ὡς φησι Διονυσόδωρος ἐν πέμπτῳ Μεγαρικῶν. ἐφ' ᾧ μάλιστα τὰ ἔπη ταῦτ', Οἱ ῥ' Ἀθήνας εἶχον, καὶ τὰ ἑξῆς. πρῶτος δὲ Σόλων τὴν πεντακάδα, ἔνιοι καὶ νέαν ἐκάλεσεν, καὶ πρῶτος τῷ συναγορεύειν τοῖς νέοις ἀρχόντων ἐπέστησεν, εἰς τὸ συμφέρειν· ὡς Ἀπολλόδωρος φησὶν ἐν δευτέρῳ περὶ νόμων. διὰ γὰρ τῆς τάξεως ἡμερουμένης, οὐ πεμπτὴν τὴν ἀρχὴν ἔδει πρότερον μετιέναι, ἀλλ' οὐδὲ μετὰ τὴν βουλαίαν ἐτάχθη. ἔλεγε δὲ τοὺς μὲν λόγον εἰδώλου εἶναι τῶν ἔργων· βασιλέα δὲ τὸν ἰσχυρότατον τῇ δυνάμει. τοὺς δὲ νόμους τοῖς ἀγραφίοις ὁμοίους· ἃ γὰρ ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ τι κοῦφον καὶ ἀσθενές, σέζει· ἐὰν δὲ μεῖζον, διακόψαν οἴχεται. ἔφασκέ τε στεφανίζεσθαι τὸν μὲν λόγον σιγῇ, τῷ σιγῶντι δὲ καιρῷ. ἔλεγε δὲ τοὺς μὲν τῶν τυράννων δυναμένους, πολυπλησίους εἶναι ταῖς ψήφοις ταῖς ὑπὲρ τῶν λογισμῶν. καὶ γὰρ ἐκείνων ἑκάστῳ ποτὲ μὲν πλείω σημαίνειν, ποτὲ δὲ ἧττω· καὶ τούτων τοὺς μὲν τυράννους ποτὲ μὲν ἕκαστον μέγαν ἄγειν καὶ λαμπρύνειν, ποτὲ δὲ ἄτιμον. ἐρωτηθεὶς δέ τι κεῖται παρὰ τοῖς νόμον οὐκ ἔθηκε, διὰ τὸ ἀπελπίσαι, ἔφη, πῶς τε ἥκιστα ἀδικοῖεν οἱ ἄνθρωποι, Εἰ ὁμοίως (ἔφη) ἄχθοιντο τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικούμενοι. καὶ τὸν μὲν κόρον ὑπὸ τοῦ πλούτου γίνεσθαι, τὴν δὲ ὕβριν ὑπὸ τοῦ κόρου. ἠξίωσέ τε Ἀθηναίοις τὰς ἡμέρας κατὰ σελήνην ἄγειν. καὶ Θέσπιν ἐκέλευσε τραγῳδίας ἄγειν τε καὶ διδάσκειν, ὡς αὐξοφελῆ τὴν ψευδολογίαν. ὅτε οὖν Πεισίστρατος ἑαυτὸν κατέβρωσεν, ἐκεῖθεν μὲν ἔφη ταῦτα φυάσματα. τοῖς τε ἀνθρώποις συνεβούλευσεν (ὡς φησιν Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν φιλοσόφων αἱρέσεων) τάδε, Καλοκἀγαθίαν ὅρκου πιστοτέραν ἔχε. μὴ ψεύδου. τὰ ἀπροβούλευτα μελέτα. φίλους μὴ ταχὺ κτῶ· οὓς δ' ἂν κτήσῃ, μὴ ἀποδοκίμαζε. ἄρχε, πρῶτον μαθών· ἄρχεσθαι συμβούλευε μᾶλλον ἢ ἄρχειν. τὰ κάλλιστα νόμιζε μὴ ἥδιστα, ἀλλὰ τὰ κάλλιστα. νόμιζε ἡγεμόνα πιστὸν μὴ

[illegible]

[illegible]

[illegible]

μέτρῳ, ἔνθα καὶ περὶ πάντων τῶν τελευτησάντων ἐλεγείων διείλεγμαι παντὶ μέτρῳ καὶ ῥυθμῷ ὀπτρέμμασι καὶ μέλεσιν, ἔχον οὕτως,

Σῶμα μὲν ἥρε Σόλωνος ὃν ἀλλοδαπὴ Κύπριον πῦρ,
Ὀστᾶ δ' ἔχει Σαλαμὶς, ὧν κόνις ἀσάχνες.
Ψυχὴν δ' ἀέξονες ἀθῶοι ἐς οὐρανὸν ἤγαγεν. οὗ γὰρ
Θῆκε νόμους αὐτοῖς ἄχθεα κουφότατα.

ἀπεφθέγξατο δ' (φασὶ) Μηδὲν ἄγαν. καὶ αὐτὸν φησι Διοσκουρίδης ἐν τοῖς ὑπομνημονεύμασιν, ἐπειδὴ δακρύοι τὸν παῖδα τελευτήσαντα (οὐ γὰρ εἴλήφαμεν) τοὺς τὸν εἰπόντα, Ἀλλ' οὐδὲν ἀνύεις, εἰπεῖν, Διὰ τοῦτο δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύω. φέρονται δὲ αὐτοῦ καὶ ὑποτολαὶ αἵδε·

Σόλων Πεισιάδρῳ.

Ἐπαγγέλλεις μοι πολλοῖς τισὶ ὑπεβουλεύειν. σὺ δ' εἰ μὴ μέλλεις ὑποδὼν ἅπαντας πιήσεσθαι, οὐκ ἂν φθάνοις. ὑπεβουλεύσατε δ' αὐτῷ τινες καὶ τῶν αἰτιῶμαι, ὁ μὲν, δεδιὼς τοῦτ' αὐτῷ, ὁ δὲ, σοὶ καταγνούς, ὡς ἔοικ' ὅτι ὑπὲρ τοῦ δημοσίου ἐξυβρίζειν καὶ πάθοιτο ἐξυβρίζων ἵν' μὴ ὕποπτος εἴης. ἄριστον μὲν οὖν ἵν' ἀπέχεσθαι, ἵνα τῆς αἰτίας ἀπαλλαγείης. εἰ δὲ παίτως τυραννητέον, φροντίζειν ὅπως τοῦ ἀλλοδαποῦ δυνάμιν μείζονα ἔχεις τῶν ἐν τῇ πόλει, καὶ οὐδεὶς ἔπι τοι δεινός· μηδὲ σὺ ὑποδὼν ἵνα τινοῦ.

Σόλων Ἐπιμενίδῃ.

Οὔτε οἱ ἐμοὶ θεσμοὶ ἆρα Ἀθηναίοις ὅπωλοῦν ἦσαν ἔμελλον, οὔτε σὺ καθήρας τὴν πόλιν ὤνησας. τό, τε γὰρ θεῖον καὶ οἱ νομοθέται οὐ καθ' ἑαυτὰ δυνάμενα ὀνῆσαι τὰς πόλεις, οἱ δὲ ἀεὶ τὸ πλῆθος ἄγοντες ὅπως αὐτῶν γνώμης ἔχωσιν. οὕτω δὲ καὶ τὸ θεῖον, καὶ οἱ νόμοι, οὗ μὲν ἀγόντων εἰσὶν ὠφέλιμοι καὶ κῶς ἂν ἀγόντων, οὐδὲν ὠφελοῦσιν. ὑπὸ

οἱ ἐμοὶ ἀμείνους εἰσὶ, καὶ ὅσα ἐγὼ συνομολόγησα. οἱ δ' ὅπλα πρέπτες πεπὶ ὸν ἔβλαπτον, οἷ ἂν ἐβούλοντο ἐμποδὼν Πεισιστράτῳ ὅπως θεῖναι τυραννίδι. οὐδὲ ἐγὼ ἐθελήσω, πρὸς ἰῶν ἑκόντος ἢ πατρὸς, καὶ ἀκόντων Ἀθηναίοις, ἐμοὶ ἀλητεύοντες. ἐγὼ δὲ ἡδέως τὸ σχαπτίου τὰ ὅπλα εἶπον, ὧν ὠὴ μὲν αἰσθανομένων Πεισιστρατον τυραννοῦντα εἶ ξων πόρος, ὧν δ' οὐκ εἰδότων ἀμωσεῖα ἀλκιμώτερος. οἱ δ' μαίαν Σόλωνος καταγίνασκον. τελευτῶν δ', ἐμὸν τεθάμβει, Ὦ πατεῖς, ἔφη, Σόλων, ἔτι μός τε καὶ λόγῳ καὶ ἔργῳ ἀμείνων, τοῖς δ' αὖ καὶ μαίνεσθαι δοκῶ. ὡς τ' ἄπτιμί οἱ ἐκ μέσου ὁ μόνος ἐχθρὸς Πεισιστράτου ἔτι δ' καὶ δορυφορούντων αὐτὸν ἔτι βούλονται λόθι γὸ τὸν ἄνδρα, ὦ ἑταῖρε, δρᾶτε τὰ ἀφάνισον τῆς τυραννίδος. ἤρξατο μὲν δημαγωγεῖν, εἶτα δ' ἑαυτῷ τραύματα πικάσας, παρελθὼν ἐπ' Ἠλιαίαν ἐβόα, φάμενος ὑπὸ θείαι ταῦτα τοῦ τὸν ἐλθρῶν· καὶ φύλακας ἠξίου τῶν δορυφόρων οἱ πεζακοσίους τοῖς νεοτάτοις· οἱ δ', ὑπακουσάντες μου, παρέσχον τοὺς ἄνδρας· ὅτι δ' ἦσαν κορυνηφόροι, καὶ μετὰ ὅπλων τὸν δῆμον κατέλυσεν. ἦν μάτην ἔπειτα ἀπαλλάξαι τοὺς πένητας αὐτῆς τῆς θητείας, οἵ γε δὴ νῦν ξύμπαντες ἐνὶ δουλεύουσι Πεισιστράτῳ.

Σόλων Πεισιστράτῳ.

Πιστεύω μηδὲν κακὸν τοῦτό σοὶ πίσεσθαι. καὶ γὸ θεὸ τῆς τυραννίδος φίλος σοὶ ἰῶν· καὶ νῦν οὐ μᾶλλον διάφορος ἢ τῶν ἄλλων τις Ἀθηναίων ὅτῳ μὴ ἀρέσκει τυραννίς. εἶτε δ' ὑφ' ἑνὸς ἄρχεσθαι ἄμεινον αὐτοῖς, εἴτε δεῖ δημοκρατεῖσθαι, πεπείσθω ἢ ἑκάτερος γινώσκει. καί σε φημὶ πάντων τυράννων εἶ βέλτιστον. ἐπαγήκειν δέ μοι Ἀθηναζε ὑ καλῶς ἔχον ὁρῶ, μὴ μέ τις μέμψηται, εἰ δίδωσι Ἀθηναίοις ἰσοπολιτείαν, καὶ παρὸν τυραννεῖν, αὐτὸς ὑκ ἠξίωσας, νῦν ἐπανελθὼν ἀρεσκοίμην οἷς σὺ πρᾴττεις.

Σόλωνι Κροίσῳ.

Ἄγαμαί σε τῆς σεαυτοῦ φιλοφροσύνης· καὶ νὴ τὸν Ἀθηναῖον, εἰ μή σοι πατρὶς ἐστὶν οἰκεῖν ἐν δημοκρατίᾳ, ἐδεξάμην ἂν μᾶλλον τὸν δίαιταν ἔχειν ἐν τῇ σῇ βασιλείᾳ, ἢ Ἀθηναίοις, τυραννοῦσι Πεισιστράτου. ἀλλὰ καὶ ἡδέως ἡμῖν ἡ βιοτὴ ἔνθα πᾶσι τὰ δίκαια καὶ ἴσα· ἀφίξομαι δ' οὖν ὡς σέ, ἀσυδωνίου τοι ξένος γενέσθαι.

ΧΕΙΛΩΝ.

Χείλων Δαμαγήτου Λακεδαιμόνιος. οὗτος ἐποίησεν ἐλεγεῖα εἰς ἔτη δισκόσια, καὶ ἔφασκε σεαυτὸν σεαυτὸν τὸ μέλλοντος λογισμῷ καταληπτὸν εἶναι ἀνδρὸς φρενί. σοφός τε τὰ ἀδελφὸν διαφορωτάτου μὴ ἔφορος ἐγένετο, αὐτὸς ὢν τοιοῦτος, ἐγὼ μὲν γὰρ ὀφείλομαι ἀδικεῖσθαι, σὺ δὲ οὔ. γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν ἕκτην Ὀλυμπιάδα. Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην. καὶ σοφὸν ἔφορον γενέσθαι ὑπὸ Εὐθυδήμου, ὡς φησι Σωσικράτης. καὶ σοφὸς εἰσηγήσατο, ἐφόρους τοῖς βασιλεῦσι παρεδρεύειν· Σάτυρος δὲ Λυκοῦργον. οὗτος (ὡς φησιν Ἡρόδοτος) Ἱπποκράτει θυομένῳ ἐν Ὀλυμπίᾳ τὰ λέβητα αὐτομάτως ζεσάντων, συνεβούλευσεν ἢ μὴ γῆμαι, ἢ, εἰ ἔχει γυναῖκα, ἐκπέμψαι, καὶ παῖδας ἀπείπασθαι. φασὶ δ' αὐτὸν καὶ Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν· τὸν δὲ φάναι, Τὰ μὲν ὑψηλὰ ταπεινοῖ, τὰ δὲ ταπεινὰ ὑψοῖ. ἐρωτηθὲς πῶς διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, Ἐλπίσιν ἀγαθαῖς. πῶς δύσκολον, Τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ χαλεπὸν διαθέσθαι, καὶ ἀδικούμενον ἀνιᾶσθαι φέρειν. σοφὸς ἐπῆν δὲ καὶ τοῦτο, Γλώσσης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ. μὴ κακολογεῖν τὸν πλησίον· εἰ δὲ μή, ἀκούσεσθαι ἐφ' οἷς λυπήσεται. μὴ ἀπειλεῖν μηδενί. γυναι-

κῶδες γάρ. Ταχύτερον ὅπου τὰς ἀτυχίας τῶν φίλων ἢ ὅπου τὰς ἀτυχίας παρεῖναι. γάμον ἀσπίλῳ πιεῖσθαι. τὸ πενητικὸν μὴ κακολογεῖν. γῆρας ἀμᾶν. φυλάττειν ἑαυτόν. ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διαπαντός. ἀποχωρῶν μὴ ὀπισθαγωγεῖν. ἰσχυρὸν ὄντα, φαῦλον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται. μανθάνειν τὰ αὐτῶν οἰκίας καλῶς οἰκεῖσθαι. τὴν γλῶτταν μὴ ὑπερέχειν τοῦ νοός. θυμοῦ κρατεῖν. μανικὴν μὴ ἐκβαίνειν. μὴ ὅπου θυμεῖν ἀδυνάτων. ἐν ὁδῷ μὴ ἀποδύεσθαι. λέγουσι μὴ κινεῖν τὴν χέρα· μανικὸν γάρ. νόμοις πείθεσθαι. ἡρεμίᾳ χρῆσθαι. τὴν δὲ ἀδοξίαν αὐτοῦ μάλιστα ἐδοκίμασεν ἐκεῖνο, ἐν λιθίναις ἀπόναις ὁ χρυσὸς ἐξετάζεται, διδοὺς βάσανον φανερόν· ἐν δὲ χρυσῷ ἀνδρὶ ἀγαθῶν τε καὶ κακῶν τίνος ἔδωκ' ἔλεγχον. φασὶ δ' αὐτὸν ποτε, γηραιὸν ἤδη ὄντα, εἰπεῖν ὡς ὑδὲν σωφρονέστερον ἄγνωμον ἑαυτῷ ἐν τῷ βίῳ. δικάζειν δὲ φίλου· κρίνων γάρ ποτε φίλῳ δίκην, αὐτὸς μὲν κατὰ τὸν νόμον, τὸν δὲ φίλον πείσας ἀποδικάσαι αὐτόν, ἵνα ἀμφότερα καὶ τὸν νόμον καὶ τὸν φίλον τηρήσῃ. εὐδοξότατος δὲ μάλιστα ὢν ἐν τοῖς Ἕλλησιν ἐλθὼν, φασὶν, εἰς Κυθήρας τῆς νήσου τῆς Λακωνικῆς. καταμαθὼν δὲ τὴν φύσιν αὐτῆς, Εἰ δὲ (ἔφη) μὴ ἐληλύθεισαν, ἢ γῆν ἐμὴν καταδυθῆναι ἢ δι' ὠκεανὸν πλεῦσαι. ἐν Δημάρατος μὲν γὰρ, φυγὰς ὢν Λακεδαιμονίων, Ξέρξῃ συνεβούλευσε ταῖς ναῦς συνέχειν ἐν τῇ νήσῳ. κἂν ἑαλώκει ἡ Ἑλλάς, εἰ ἐπίθετο Ξέρξης. ὕστερόν τε Νικίας ὅτε τὴν Πελοποννησιακὴν κατασκεψάμενος τὴν νῆσον, φρουρὰν ἐγκατέλιπεν Ἀθηναίων, καὶ πάμπολλα τοῖς Λακεδαιμονίοις κακὰ διέθηκε. Βεσχυλόγος τις ὢν ὅθεν καὶ Αἰσιγόρας ὁ Μιλήσιος πατὴρ τὸν τρόπον Χειλώνιον καλεῖ. Βεσχον δὲ εἶναι ὅς τὸ ἱερὸν ἔκτισε τὸ ἐν Βεσχίδαις. ἦν δὲ γέρων ἤδη τὴν πεντηκοστὴν ὀλυμπιάδα, ὅτε Αἴσωπος ὁ λογοποιὸς ἤκμαζεν.

ἐτελεύτησε δ', ὡς φησιν Ἕρμιππος, ἐν Πίσῃ, τὸν υἱὸν ὀλυμπονίκῃ ἀσπασάμενος πυγμῆς. ἔπαθε δὲ τοῦτο ὑπερβολῇ τε χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας. καὶ αὐτὸν πάντες οἱ κατὰ τὸν παντάγυεων ἐπιμόπαπα παρέπεμψαν. ἔστι δὲ καὶ εἰς τοῦτον ἐπίγραμμα ἡμῶν,

Φωσφόρε σοὶ Πολύδευκες ἔχω χάριν οὕνεκεν υἱὸς
Χείλωνος πυγμῇ χλωρὸν ἔλεν κότινον.
Εἰ δ' ὁ πατὴρ στεφανεδχον ἰδὼν τέκνον ἤμυσεν ἡδείᾳ,
Οὐ νεμεσητὸν· ἐμοὶ δῖος ἵπω θάνατος. ἐπὶ δὲ τῷ ἀγῶνος αὐτῷ ἐπιγέγραπται πάδε,
Τόνδε δορυσθένους Σπάρτα Χείλωνα τέθρυπται,
Ὃς τὸν ἐπὶ σοφίᾳ πρεσβύτης ἔφυ σοφίην.
ἀπεδέξατο, Ἐγχύα, παίδα δ' ἄτα. ἔστιν αὐτοῦ καὶ ἐπιτύμιον τόδε·

Χείλων Πεισάνδρῳ.

Ἐπιστέλλεις ἐμὲν ἀσφαλέως ἐπὶ σκάμμως, ὡς αὐτὸς καὶ ἀγέρπις· ἐγὼν δὲ δοκέω καὶ τὰ οἰκεῖα σφαλερὰ ἤμῳ ἀνδρὶ μοναρχῷ, καὶ τῶν τυράννων ἀνδαιμονίζω ὅστις καὶ οἰκοι ἐξ αὐτοῦ καλῶς ἔχει.

ΠΙΤΤΑΚΟΣ.

Πιττακὸς Ὑρράδιου Μιτυληναῖος. φησὶ δὲ Δουρις ὁ πατέρα αὐτοῦ Θρᾷκα εἶναι. ἔσχε μετὰ τὸν Ἀλκαίου γνώριμος ἀδελφοῦ, Μέλαγχρον καθάπερ ὁ Λέσβου τύραννον, καὶ τῆς Ἀχιλλείδος χώρας μαχομένων Ἀθηναίων καὶ Μιτυληναίων, ἐστρατήγει μὲν αὐτὸς, Ἀθηναίων δὲ Φρυνῶν παγκρατιαστὴς ὀλυμπονίκης. συνέθετο δὴ μονομαχῆσαι πρὸς αὐτόν· καὶ δίκτυον ἔχων ὑπὸ τὴν ἀσπίδα, λαθραίως προσέβαλε τὸν Φρυνῶνα· καὶ κτείνας ἀνεσώσατο τὸ χωρίον. ὕστερον μέντοι φησὶν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς δικάζειν αὐτὸν Αἰσυμνήτην τοὺς Ἀθηναίους

φέλ τῶ χρείω φέρε ἐις Μπολιωτίας, ἀκούεις τῆς δίκας Πεεμαίφεσ ὁτι καὶ ἐις Δ'Σπαρτίας φέρεται. πάπα δ' εἰῶ τὸν Πιτάκιο ἰφρεάς ἐάμπεσαν εἰ Μπολιωτάει, καὶ τὼ ἀφείλω ἀπεμίσησαν αὐτᾶ. ὁ ἢ δίκα ἔπι καταφέρει ἢ τὶς πέξιν ἀμφὶ τὸ πολίτευμα, καπίπα τὼ ἀφείλω, καὶ δίκα ἐπιδίω ἄλλα. καὶ χόρτι αὐτᾶ ἀπίνεμαν εἰ Μπολιωτάει ὁ ἢ ἰπεχὶ αἴτιαν, ἔπας ἰω Πιτάκιες καλέπαν. Σωσπιάτης δέ φεσι ἔπα ὀλίγα ἀπεπμίδης, ἔφη Τέτιμον τῶ πατὰς πλοῦν εἶ). ἀλλά ἢ Κλείσσο δίδέι πας χρίμα τα ἰπ' ἐδίξαπ, ἔπαι ἔχρι ὧν ἐθύλετα, δίκλά σπα. ἄπαιδες γὰρ ἦδιλφὸ πλυτήσαπις κληρονομείται. Παμείλα δέ φεσι τὰ δίνπίω τῆι ὑπερμυχῆ, ὡς τὰ ἡδὶ αὐτῆ Πυθίαν καὶ Σπάρτει ὅπι κευρέις τὰ Κόμη χαλκᾶς πε πίλεκυ ἐμέλαν αἰέλει. τῆδ' ἢ Κυμαίων πομφάπαι τὰ φονέα τῆ Πτολεμαΐδι τα καὶ ἀπολύσαπα εἶπᾶν, Συγγνώμη μεπαιείας κρέασαι. Ἡ ἐχέκλεπας δέ φεσι Δ' καῖσι ὑπερχίεμι λαβέπα καὶ ἀπολύσαπα φάσαι, Συγγνώμε ἐμμελείας κρέασαν. νόμος ἢ ἔξπι τῷ μεδόπι, καὶ ἀμφότερ, δίκλων εἶ) ἢ ἡμίαν. ἅπα μὲν μεδόωσ πολλῷ κρ' ἢ ἴπεσι εἶπον χαλκᾶν. εἰ πέ χαλεπὸν, ἑαυλὸν ἔμμεναι. οὗ καὶ Σιμωνίδης μέμνπαι λέγων, Δίδρα ἀγαθὸν ἀνδρὸς ἀλαθέως ἦμι ἔαυ χαλεπὸν, τὸ Πιτάκιον. μέμνπαι αὐτῆ καὶ Πλάτων ἐν Πρωταγόρα. Διάγκα δ' οὐ δεῖ μάχεσαι. καὶ, Δίκη δ' οὐδὲν δρᾶσιν. ἐρωπηθὲς δέ πο πάεσι, Τὸ ταχὺ τῷ πικῷ. καὶ ὑπὸ Κρίπωνος, πὰς δ' ἐκ μιᾶς, Ἢ ὦ πολίτα(ε) ξύλαν ἐμαίνεσι τὸν νόμον. ἔλεγε ἢ καὶ τὰς νίκας αὐτῶν αἵματος πεῖσαι. ἔφη ἢ καὶ φεῖς τὸν Φωκαέων φάσεσπα, Δεῖ ζῆπιν αὐτὸν ἀσφαλῶς, ἀλλ' ἀσφαλ(ε)ῶς ζῆπιν. εὐχὴ ἐύρησις. καὶ φεῖς τὸν πωσανιάνης τὸ δρᾶσι, Χρόνος, ἔφη, ἀφανεῖς, τὸ μέλλον πισάνη. ἄπαν, ἔλεγε. ἔλεγέ π σωκρᾶ αἰδρᾶν, ὡρὶν ἡμέαν τὸ δις-

χερῆ, φρονοῦσαι ὅπως μὴ ἡμύηται· αὐδρείων γ' ἦν, ἡμύσθην δ' ἔδαν. ὃ μέλλεις πρήσσειν, μὴ πρόλεγε· ἀπευχὴν γὰρ, γελασθῆναι. ἀπευχίαν μὴ ὀνειδίζειν, νέμεσιν αἰδούμενον. τὰ δὲ καταθήκην λαβόντα, ἀποδοῦναι. φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν. ἀσέβειαν ἀσκεῖν. σοφροσύνην φιλεῖν. ἀλήθειαν ἔχειν, πίστιν, ἐμπειρίαν, ὁπλοκτησίαν, ἑταιρείαν, ὁπομένειαν. πρὸς δ' ἀδομένων αὖτε μάλιστα ἀνδρὸς ἄριστον πάντα, ἔχοντα δεῖ τόξον καὶ ἰοδόκον φαρέτρην, σείχειν ὅτι φῶτα κακόν. πιστὸν γὰρ οὐδένι γλῶσσα δολὰ σώματος λαλεῖ, διχόμυθον ἔχουσα κραδίην· νόημα ἐποίησε δ' καὶ ἐλεγεῖα ἐπὶ ξυνοπα, καὶ γὰρ νόμων καταλογάδην τοῖς πολίταις. ἤκμαζε μὲν οὖν περὶ τὴν πεντηκοστὴν δευτέραν Ὀλυμπάδα· ἐτελεύτησε δ', ὅτε Λεσβίοις, τῷ τελευταίῳ ἔτει τῆς πεντηκοστῆς δευτέρας Ὀλυμπάδος; βιοὺς γὰρ ἔτη ἑβδομήκοντα, ἤδη γηραιός. καὶ αὐτῷ ὅτι τὸ μνῆμα ὑπογέγραπται τόδε,

Οἰκτίοις δακρύοις ἀγλαμβία καταθάπτει
Ἐνθάδε Πιτταικὸν ἡ ἱερὰ Λέσβος.

ἀπόφθεγμα αὐτοῦ, Καιρὸν γνῶθι. Γέγονε δ' καὶ ἕτερος Πιτταικὸς νομοθέτης, (ὡς φησι Φαβωρῖνος ἐν ἀπομνημονεύμασι τρίτῳ, καὶ Δημήτριος ἐν ὁμωνύμοις) ὃς καὶ μικρὸς ὠθεσηγορεῖτο. τὸ δ' οὖν σφὸν λέγεται ποτε νεανίσκῳ συμβουλευομένῳ περὶ γάμου ταῦτα εἰπεῖν ἃ φησι Κρημάχος ἐν τοῖς ὑπομνήμασι,

Ξεῖνος Ἀπαρνείτης τις ἀνήρετο Πιτταικὸν οὕτως
Τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑρράδιου.
Ἄττα, γέρον, δείδω με καλεῖ γάμος. ἡμία μὲν δὴ
Νύμφη, καὶ πλούτῳ καὶ γένει κατ' ἐμέ·
Ἡ δὲ ἑτέρη πρόβατόν τι. τί λώϊον; εἰ δέ μοι αὖτε
Βούλευσον πότερον εἰς ὑμέναιον ἄγω.
Εἶπεν. ὁ δὲ σκίπωνα γερόντιον ὅπλον ἀείρας,
Ἥνιδε καινοὶ σοὶ παῖ ἐρέουσιν ἔπος.

Οἱ δ' ἄρ' ὑπὸ πληγῆσι θοὰς βέμβικας ἔχοντες
Ἔτρεφον ἀμφὶ παῖδες ἐπὶ τριόδῳ.
Κείνων ἐσχεφόμην μετ' ἴχνια. χὠ μὲν ἐπέσπη
Πλησίον· οἱ δ' ἔλεγον, Τίνα χρὴ σὸν τέλα.
Ταῦτ' ἀίων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
Δεξάσθαι, παίδων κηδόσυνα σπουδέμενος.
Τίνα δ' ὀλίζονα, ὡς κεῖνος, ἐς οἶκον ἤγετο νύμφην.
Οὕτω καὶ σὺ Δίων τίνα χρὴ σὸν τέλα.

δοκεῖ δὲ ἐκ διαθέσεως αὐτὰ εἰρηκέναι. ἀμφιεσίεσα γὰρ αὐτῷ οὖσα ἡμωὴ, ἐπεὶ ἦν ἡ Δεάκοντις ἀδελφὴ τοῦ Πειθίλου, σφόδρα καπεσβαρύετο αὐτόν. τὸν γοῦν Ἀλκαῖος Σαεάποδα μὲν καὶ Σάεαπον ἀποκαλεῖ, διὰ τὸ πλατύπιων εἶ) καὶ ὀπισύρειν τὸ πόδε· Χειροπόδιον δ', διὰ τὰς ἐν τοῖς ποδαράδας, ἃς χειράδας ἐκάλουν· Γαύεικα δ', ὡς εἰκῆ γαυειώτα· Φύσκωνα δὲ καὶ Γάστρωνα, ὅτι παχὺς ἦν· ἀλλὰ μὴν καὶ Ζοφοδορπίδαν, ὡς ἄλυχνον· Ἀγάστυρον δ', ὡς ὀπισυριθμόν καὶ ῥυπαρόν. Τύπτων γυμάσιον, ὅπου ἀγεῖται, ὡς φησι Κλέαρχος ὁ φιλόσοφος. καὶ αὖτις ὅτι ὀπισόλιον τιόντες·

Πτωχὸς Κροίσῳ.

Κέλεαί με ἱκνεῖσθαι ἐς Λυδίαν, ὅπως τοι τὸν ὄλβον ἴδοιμι· ἐγὼ δὲ καὶ μὴ ὀρεὶς πεπεισμαι τὸν Ἀλυάττεω παῖδα τῶν βασιλέων πολυχρυσότατον εἶναι. οὐδέν τι πλέον ἄμμιν ἱκομένοις ἐς Σάρδις· χρυσοῦ γὰρ δεύμεθ', ἢν ἃ πέπαμαι, ἅρπια καὶ τοῖς ἐμοῖς ἑταίροις. ἔμπας δὲ ἴξομαι, ὡς αἰδρὶ ξείνῳ χρυσίμολπος ἀοιδός.

ΒΙΑΣ.

Βίας Τευτάμου, Πριηνεύς, δεσποτικῶτατος τῶν ἐπὶ τοῦ Σατύρου. ὃν οἱ μὲν πλούσιον, δοῦλοι δὲ πάροι-

κοτ φησὶ γεγονέναι· Φανόδικος δὲ κόρας αἰχμαλώτους λυτρωσάμενον Μεσσηνίας, θρέψαι τε ὡς θυγατέρας καὶ θεῖκας ὑποδοῦναι, καὶ εἰς τὸν Μεσσήνιον ἀποστεῖλαι τοῖς πατράσιν αὐτῶν. χρόνῳ δ' ὑπὸ τῶν Ἀθηναίων (ὡς θεσπέρηται) τὸ τείχεος διορυχθέντος ὑπὸ τῶν ἁλιέων, τὸ χαλκοῦν ὑπόθεμα ἔχοντος, τῷ θεῷ, Σάτυρος μὲν φησι παρελθεῖν τὰς κόρας (οἱ δ', τὸν πατέρα αὐτῶν, ὡς καὶ Φανόδικος) εἰς τὴν ἐκκλησίαν, καὶ εἰπεῖν τὸν Βίαντα θεόν, διηπορημένους τὰ καθ' ἑαυτούς. καὶ ἀπεσάλη ὁ τείχος· καὶ ὁ Βίας ἰδὼν, ἔφη τὸν Ἀπόλλω θεὸν εἶναι, οὐδὲ θεσπίσαντα. οἱ δὲ λέγουσιν ἐν Θήβαις τῷ Ἡρακλεῖ αὐτὸν ἀναθεῖναι, ἐπὶ ἀπόγονος τῶν Θηβαίων ἀποικίαν ἐς Πελιόνην στελλόντων· ὡς θεσπ καὶ Φανόδικος φησί. λέγεται δὲ καὶ Ἀλυάττου πολιορκοῦντος Πελιόνην, τὸν Βίαντα, πίνοντα δύο ἡμιόνους, ἐξελάσαι εἰς τὸ στρατόπεδον. τὸν δὲ, σωιδόντα, καταπλαγῆναι μέχρι καὶ ἀλόγων δηλατεῖνειν αὐτῷ τὴν ἀναθείσαν· καὶ ἐβουλήθη ἀπίσασθαι, καὶ εἰσέπεμψεν ἄγγελον. Βίας δὲ σπυρὶς ἁλάμου χέας, καὶ ἄνωθεν σῖτον θεὶς χέας, ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τέλος μαθὼν ὁ Ἀλυάττης εἰρήνην ἐποίησατο θεὸς τοὺς Πελιονέας. θᾶττον δ' αὐτῷ πέμψαι θεὸς τὸν Βίαντα ἵνα ἥκῃ παρ' αὐτόν, ἐγὼ δὲ, (φησὶν) Ἀλυάττῃ κελεύω χρόμμυα ἐθέλειν, ἵσον τῷ κλαίειν. λέγεται δὲ καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν. ἐπ' ἀγαθῷ μύθοι τῇ τοῦ λόγου ἰσχύϊ θεσεχρῆτο. ὅθεν καὶ Δημόδικος ὁ Ἀλείειος τόπον αἰνίξεται, λέγων, Ἢν τύχῃς κρίνων, δικάζου τὸν Πελιονέα δίκην. καὶ Ἱππώναξ, ἃ καὶ δικάζεσθαι Βίαντος τὸ Πελιονέως κρεῖσσον. τόπον οὖν ἐπελθόντα τὸν ξόπον δίκην χὠ ἀντίδικος λέξας ἤδη ἀντίρροπος ὑπῆρχον, μετὰ τὸ καταπαῦσαι τὸν λόγον, ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὐμὸν τῆς θυγατρὸς μου κόλπον. εἰπόντος δὲ καὶ τοῦτο ἀναπίας,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τῶν δικαστῶν τὸν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου, νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. καὶ αὐτὸν μεγαλοφρεπῶς ἔθαψεν ἡ πόλις, καὶ ἐπέγραψαν,

Κλεινῆς ἐν δαπέδοισι Πελώνης φῶτα καλύπτει
Ἥδε Βίαντα πέτρα, κόσμον Ἰωὴ μέγαν.

ἀλλὰ καὶ ἡμεῖς,

Τῇδε Βίαντα κέυθεται ἀτρέμας ἤγαθον Ἑρμῆς·
Εἰς ἀίδαο πολιὸν μέσαι νιφόμενον.

Εἶπε γὰρ, εἶπε δίκαιον ἑτάρου ὑπὲρ, εἶτ' ἀποκλιθεὶς
Παιδὸς ἐς ἀγκαλίδας, μακρὸν ἔπεινεν ὕπνον.

ἐπίσης δὲ θεὶ Ἰωνίας, πλὴν μάλιστα αὐτὸν ἀδαιμονοῖν, εἰς ἔτη δισχίλια. τὸν δὲ ἀδομένων αὐτὸν ἀδελφοὶ τάδε, Ἀσσοῖσιν ἄρεσκεν πᾶσιν ἐν πόλει αἰ κε μένῃς· πλείστας γὰρ ἔχεις χάριν. αὐτάδης δὲ τὸν πολλάκις βλαβερὸν ἐξέλαμψεν ἄπαν. καὶ τὸ μὲν ἰσχυρὸν γλυκέα, τῆς φύσεως ἔργον· τὸ δὲ λέγειν δυνάσθαι τὰ συμφέροντα τῇ πατρίδι, ψυχῆς ἴδιον καὶ φρονήσεως. ἀπειρίαν δὲ χρημάτων πολλοῖς καὶ δι' τύχην θεραπεύεσθαι. ἔλεγε δὲ ἀτυχεῖν μὲν τὴν ἀτυχίαν μὴ φέροντα. καὶ τόσον ψυχῆς, τὸ τῶν ἀδυνάτων ἐρᾶν, ἀλλοτρίων δὲ κακῶν ἀμνημόνευτον εἶναι. ἐρωτηθεὶς τί δυσχερές, Τὸ δὴ τὸ χεῖρον ἔφη μεταβολὴν ἀγνῶς ἀνέχειν. συμπλέων ποτὲ ἀσεβέσι χαλαζομένης τῆς νεὼς, καὶ κείνων τοὺς θεοὺς ὀπισθαλουμένων, Σιγᾶτε (ἔφη) μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας. ἐρωτηθεὶς τὸν ἀσεβοῦς ἀνθρώπου τί πρέπει εἶναι ἀσέβεια, εἶπε. τὸν δὲ τὴν αἰτίαν τῆς σιγῆς πυθομένου, Σιωπῶ (ἔφη) ὅπως θεὶ τῶν οὐδέν σοι θεσπισάντων πιστεύῃ. ἐρωτηθεὶς τί γλυκὺ ἀνθρώπῳ, Ἐλπὶς, ἔφη. ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων. τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον φίλον. ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος πέρπεται, ἔφη, Κερδαίνων. ἔλεγέ τε τὸν βίον οὕτω μετρεῖν ὡς καὶ

πολιὸν

πολιῶ καὶ ὀλίγον χρόνον βιωσόμθμους. καὶ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς. συμβούλευέ τε ὧδε, βεβαίως ἐπιχείρει τοῖς πραγματομθμοις· ὁ δ' ἂν ἕλῃ, βεβαίως τηρῶν διάμθμε. Μὴ ταχὺ λάλει· μανίαν γὰρ ἐμφαίνει. Φρόνησιν ἀγάπα. Περὶ θεῶν λέγε, ὡς εἰσίν. Αἰδέσιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. Πείσας λάβε, μὴ βιάσάμθμος. Ὅπου ἂν ἀγαθὸν πεφύκῃς, εἰς θεοὺς ἀνάπεμπε. Εφόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῆς ἄλλων κτήσεως. μέμνηται τοῦ Βίαντος καὶ Ἱππώνακτος, ὡς πεφείρηται. καὶ ὁ δυσάρεστος Ηράκλειτος μάλιστα αὐτὸν ἐπήνεσε, γράψας, Ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λόγος ἢ τῶν ἄλλων. καὶ οἱ Πριηνεῖς ὑπὲρ αὐτοῦ τέμθνος καθιέρωσαν τὸ Τευτάμειον λεγόμθνον. ἀπεφθέγξατο, Οἱ πλεῖστοι κακοί.

ΚΛΕΟΒΟΥΛΟΣ.

ΚΛεόβουλος, Εὐαγόρου, Λίνδιος· ὡς δέ τινες, Καρ. ἔνιοι δὲ εἰς Ηρακλέα ἀναφέρειν τὸ γένος αὐτόν· ῥώμῃ δὲ καὶ κάλλει διαφέρειν· μετασχεῖν τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. γενέσθαι τε αὐτῷ θυγατέρα Κλεοβουλίνην, αἰνιγμάτων ἑξαμέτρων ποιήτριαν· ἧς μέμνηται καὶ Κρατῖνος ἐν τῷ ὁμωνύμῳ δράματι, πληθυντικῶς ὀνομάσας. ἀλλὰ καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀνατεθεῖσθαι αὐτὸν ὑπὸ Δαναοῦ. ἔστι δ' ἐποίησεν ἄσματα καὶ γρίφους εἰς ἔπη τετρακόσια. καὶ τὸ ὀπτόγραμμα γινὲς τὸ ὑπὸ Μίδᾳ ἔτον φασὶ ποιῆσαι,

Χαλκῆ παρθένος εἰμὶ, Μίδου δ' ὑπὸ σῆμα κεῖμαι.
Ἔστ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ πεθήλῃ,
Ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρή τε σελήνη,
Καὶ ποταμοὶ ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα,
Αὐτοῦ ἧδε μένουσα πολυκλαύτῳ ὑπὸ τύμβῳ.

c.i.

Ἀγγελέω πατράσι, Μίδας ὅτι τῆδε τέθαπται.
φέροιτο δὲ μαρτύριον, Σιμωνίδου ἄσμα, ὅπου φησὶ, Τίς
κεν αἰπήσειε νῆ πίστιος Λίνδου ναέταν Κλεόβουλον ἀεν-
ναόις ποταμοῖς, αἰθέρί τ' εἰαρινοῖς, ἀελίου τε φλογὶ χρυ-
σᾶς τε σελαίνας, καὶ θαλασσαίαισι δίναις αἰπήεντα μῶλυος
σάλας; ἅπαντα γὰρ ὄβριν θεῶν ἔστω· λίθον δ' ἐν βρότειοι πα-
λάμαι διαύσαντ. μερόπων φωτὸς ἄδε βυλά. ἐγὼ δ' εἶμι Ὁμή-
ρου τὸ ὀπτὴ, ἓξάμμα, πολλοῖς ἔπεσι φερέχοντος (φασὶ) τὸν Μί
δαν. φέρεται δ' αὐτοῦ ἐν τοῖς Παμφίλης ὑπομνήμα-
σι καὶ αἴνιγμα τοῖον,

Εἷς ὁ πατὴρ, παῖδες δ' δυώδεκα· τοῖσι δ' ἑκάστῳ
Παῖδες τριήκοντα διχῆ εἴδος ἔχουσαι·
Αἱ μὲν λευκαί ἔασιν ἰδεῖν· αἱ δ' αὖτε, μέλαιναι·
Ἀθάνατοι δέ τε οὖσαι ἀποφθινύθουσιν ἅπασαι.

ἔστι δ' ὁ ἐνιαυτός. τοῖς δ' ἀδοκήτως ἀπολήμψεσθαι αὐτὸ τάδε, Δημοσία τὸ πλέον μέρος ἐν βροτοῖσι, λόγον τε πλῆθος. ἀλλ' ὁ καιρὸς ἀρκεῖ. Φρόνει τὰ καλά. Μὴ μάταιος ἄ-
χαρις γένεσθε. Ἔφη δεῖν συνοικίζειν τὰς δυνατείας, παρθένους μὲν τὴν ἡλικίαν, τὸ φρονεῖν δὲ, γυναῖκας. ἐπο-
δύνειν ὅτι δεῖ παιδεύεσθαι καὶ τὰς παρθένους. Ἔλεγέ τε τὸν φίλον δεῖν ἐνεργετεῖν, ὅπως μὴ μᾶλλον φίλος· τὸν δὲ ἐ-
χθρὸν, φίλον ποιεῖν. φυλάττεσθαι γὰρ τοῦ μὲν φίλου, τὸν φό-
νον· τοῦ δ' ἐχθροῦ, τὴν ὑποβουλήν. Καὶ ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητεῖτω πρότερον τί μέλλει πράττειν· καὶ ὅταν εἰσέλθῃ πάλιν, ζητείτω τί ἔπραξε. Συνεβούλευέ τε τοῦ τὸ σῶμα ἀσκεῖν. Φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον· φι
λομαθῆ μᾶλλον ἢ ἀμαθῆ. Γλῶσσαν δύφημον ἴσχειν. Ἀ-
ρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον. Ἀδικίαν φεύγειν. Πό-
λει τὰ βέλτιστα συμβουλεύειν. Ἡδονῆς κρατεῖν. Βίᾳ μηδὲν πράττειν. Τέκνα παιδεύειν. Ἔχθρας διαλύ-
ειν. Γυναικὶ μὴ φιλοφρονεῖσθαι, μηδὲ μάχεσθαι, ἀλλο-
τρίων παρόντων. τὸ μὲν γὰρ ἀνοίας, τὸ δὲ μανίας σημαίνει.

Οἰκέτῃ πάροινον μὴ κολάζειν· δοκεῖν γὰρ παροινεῖν. Γαμεῖν ἐκ τῶν ὁμοίων. Ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς (φησὶ) δεσπότας κτήσῃ τοὺς συγγενέας. Μὴ ὀργιλαῖν τοῖς σκωπτομένοις· ἀπεχθήσεσθαι γὰρ τύπτοις. Εὐτυχῶν μὴ ἴσθι ὑπερήφανος. Ἀπορήσας, μὴ ἀπιστοῦ. Τὰς μεταβολὰς τῆς τύχης γενναίως ὑπόισασο φέρειν. ἐτελεύτησε δὲ γηραιὸς, ἔτη βιοὺς ἑβδομήκοντα· καὶ αὐτῷ ἐπεγράφη,

Ἄνδρα σοφὸν Κλεόβουλον ἀπεφθίμενον καταπεύθῃ
Ἥδε πάτρα Λίνδος, πόντῳ ἀγαλλομένη.

ἀπεφθέγξατο, Μέτρον ἄριστον. καὶ Σόλωνι ἐπέστειλεν οὕτω·

Κεόβουλος Σόλωνι.

Πολλοὶ μὲν ἕνες εἰσὶν ἑταῖροι, καὶ εἶχος πανταχοῦ φαμὶ ἦ ἐνθὸν πολὺ αὐτωτάτων ἐσεῖδες Σόλωνι ταὶ Λίνδου δὲ μοκραπομένων· καὶ ἁ νᾶσος πελαγία, ἔνθα οἰκέοντι οὐδὲν δεῖν ἐκ Πεισιράτου. καὶ τοὶ ἑταῖροι δὲ ἑκάστοθεν πάρ τοι βασσοῦντας.

ΠΕΡΙΑΝΔΡΟΣ.

Περίανδρος, Κυψέλλου, Κορίνθιος, ἀπὸ τῶν τῶν Ἡρακλειδῶν γένους. οὗτος γήμας Λυσίδικην, ἣν αὐτὸς Μέλισσαν ἐκάλει, τὴν Προκλέους τοῦ Ἐπιδαυρίων τυράννου, καὶ Ἐρισθενείας τῆς Ἀγριοκράτους θυγατρὸς, ἀδελφῆς δὲ τοῦ Ἀγασθένους, θυγατέρα, οἱ χρόνοι πάσης Ἀρκαδίας ἐπῆρξαν (ὡς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἀρχῆς) παῖδας ἐξ αὐτῆς ἐπίησε δύο, Κύψελλον καὶ Λυκόφρονα· τὸν μὲν νεώτερον, σωφρονέστερον, τὸν δὲ πρεσβύτερον, ἄφρονα. χρόνῳ δὲ ὑπὸ ὀργῆς βαλὼν ὑποδάθρῳ ἢ λακτίσας τὴν γυναῖκα, ἔγκυον οὖσαν, ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδων, ἃς ὕστερον ἔκαυσε. τὸν τε παῖδα ἀπεκήρυξεν εἰς Κέρκυραν, λυπούμενον ὅτι τῇ μητρὶ, ὡ

ὄτομα Λυκόφρων. ἤδη δ' ἐν χήρᾳ καθεσὼς μεπέμπετο αὐτὸν ὅπως φθαλάδῃ τὼ τυραννίδα· ὃν φθάσαντες οἱ Κερκυραῖοι διεχρήσαντο. ὅθεν ὀργισθεὶς ἔπεμψε τοὺς παῖδας αὐτοῦ πρὸς Ἀλυάττην ἐπ' ἐκπομπήν. προσχόντος δὲ τῆς νεὼς Σάμῳ, ἐκπύσαντες τὼ Ἥραν, ἱκετεύσαντες τοὺς Σαμίους διεσώθησαν. καὶ ὃς ἀθυμήσας ἐτελεύτησεν, ἤδη γεγονὼς ἐπ' ὀγδοήκοντα. Σωσικράτης δέ φησι πρότερον Κροίσου τελευτῆσαι αὐτὸν ἔτη πεπαρεληκότα καὶ ἑνὶ πρὸ τῆς πεντηκοστῆς ἑνάτης ὀλυμπιάδος. τῶν Ἡρόδοτος ἐν τῇ πρώτῃ ξένον φησὶν εἶ) Θεσπυδούλῳ τῷ Μιλησίων τυράννῳ. φησὶ δ' Ἀείσιππος ἐν πρώτῳ περὶ παλαιᾶς τρυφῆς πρὸς αὐτὸ τάδε, ὡς ἄρα ἐρασθῆσα ἡ μήτηρ αὐτοῦ Κερκύρα, σωλῆν αὐτῷ λάθρα. καὶ ὃς ἤδετο. φανερὸς δ' ἦν μυρίῳ βαρὺς πᾶσαν ἐλθόντα, διὰ τὸ δήκτειν ὑπὸ τῆς φωρᾶς. διὰ καὶ Ἔφορος ἱστορεῖ ὡς θύσαντα, εἰ νικήσειεν Ὀλύμπια πεζρίππῳ, χρυσοῦν αἰδρίαν τὰ ἀναθεῖναι. νικήσας δὲ, καὶ ἀπρὼν χρυσίου, καθ' ἑνα ἑορτὴν ὑπαχώρουν κεκοσμημένας ἰδὼν τὰς γυναῖκας, πάντα ἀφείλετο τὸν κόσμον, καὶ ἔπεμψε τὸ ἀνάθημα. λέγουσι δέ τινες ὡς θελήσας αὐτοῦ τὸν πάθος μὴ γνωσθῆναι, τοιοῦτόν τι ἐμηχανήσατο. δύσιν ἐκέλευσεν νεανίσκοις (δείξας τινὰ οδὸν) ἐξελθεῖν νύκτωρ, καὶ τὸν ἀπαντήσαντα αἰτεῖν καὶ θάψαι. ἔπειτα βαδίζειν δήμους τε τῶν τούτων πέλαγος, καὶ αἰτοῦντας θάψαι· πάλιν τε κατὰ τούτων πλείονας. καὶ οὕτως αὐτὸς τῶν πολλῶν ἀντυχὼν ἀνῃρέθη. Κοίλησιοι δὲ ὅτι τὸ κενοτάφιον ἐπέγραψαν αὐτῷ τόδε,

Γλαύκου καὶ Σφίνης σφύσαντι πατρὶς ἥδε Κόιλησος
Κόλποις ἀγχιάλοις γῆ Πειραιάδος ἔχει.

ἔστι καὶ ἡμῶν,

Μή ποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ
Τέρπεο πᾶσιν ἐμοῖς οἷσι δίδωσι θεός.

ΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ γὰρ ἀθυμήσας ὁ Θρὼς Πεισάνδρος ἀπέβη,
Οἰωνὸν ὃν ἔτυχεν πρόξιος ἧς ἔθελεν.

Τύπου ὅτι καὶ τὸ, Μηδὲν χρημάτων ἕνεκα πρᾶττειν δεῖν γὰρ τὰ κερδαντὰ κερδαίνειν. ἐποίησε δὲ καὶ ὑποθήκας εἰς ἔτη δισχίλια. Εἴπέ τις μέλλοντας ἀσφαλῶς πλουτεῖν, τῇ διανοίᾳ διαφορεῖσθαι, καὶ μὴ τοῖς ὅπλοις. καί ποτε ἐρωτηθεὶς διὰ τί πλουτεῖ, ἔφη, Ὅτι καὶ τὸ ἐκουσίως ἀποθνῄσκειν καὶ τὸ ἀφαιρεθῆναι κίνδυνον φέρει. ἔλεγε δὲ καὶ τάδε, Καλὸν ἡσυχία. Ἐπισφαλὲς πολυπέτεια. Κέρδος, αἰσχρόν. Δημοκρατία, κρεῖττον τυραννίδος. Αἱ μὲν ἡδοναὶ, φθαρταί· αἱ δὲ ἀρεταὶ, ἀθάνατοι. Εὐτυχῶν μὲν, μέτριος ἴσθι· δυστυχῶν δὲ, φρόνιμος. Φίλοις ἀτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. Ὃ ἂν ὁμολογήσῃς, διατήρει. Λόγων ἀπρεπῶν ἀκροᾶσθαι μὴ ποιοῦ. Μὴ μόνον τοῖς ἁμαρτάνουσι, ἀλλὰ καὶ τοῖς μέλλουσι, κόλαζε. Σοῦ πολλοὺς τοὺς διαφόρους ἔχε, καὶ πρῶτον ἀρχὴν εἰς τυραννίδα μετέστησε· καὶ δικαία ἐν ἅπασι ζῆν τοῖς βουλομένοις, καθά φησιν Εὔφορος καὶ Ἀριστοτέλης. ἤκμαζε δὲ περὶ πρῶτον πεντηκοστὴν ὀγδόην Ὀλυμπιάδα, καὶ ἐτυράννησεν ἔτη πεντεκαίδεκα. Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων δύο φασὶ Πεισάνδρους γεγονέναι, τὸν μὲν, τύραννον· τὸν δὲ, Θρᾶν καὶ Ἀμφιπολίτην. τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνὸς, αἰεψιοὺς πεφυκότας ἀλλήλοις. καὶ Ἀριστοτέλης μὲν τὸν Κοαίνθιον φησὶν εἶναι τὸν Θρᾶν· Πλάτων δὲ ὃ μή φησι. Τύπου ὅτι, Μελέτη πάντα. ἤθελε δὲ καὶ τὸν Ἰσθμὸν διορύξαι. φέρεται δὲ αὐτοῦ καὶ ὀψιολή·

Πεισάνδρος τοῖς Θρᾳξί.

Πολλὰ χαίρεις τῷ Πυθοῖ Ἀπόλλωνι, ὅτ' εἰς ἓν ἐλθόντας αὐτοῖς ἠξίωσε καὶ ἐς Κόαινθον ταῖς ἐμαῖς ὀψιολαῖς. ἐγὼν δὲ ὑμᾶς ἀποδέχομαι, ὡς ἔφη αὐτοῖς, ὅτι δαιμονιώτατα. πεύθομαι ὡς θρῦπτ' ἐγίνετο ὑμῶν ἀλλὰ περὶ τὸν Λυδὸν

ἐς Σαρδῆς. ἤδη ὧν μὴ ὀκνεῖτε καὶ παρ' ἐμὲ φοιτᾶν τὸ Κο
ρίνθιον τέγαννον. ὑμᾶς γὰρ καὶ ἄσμενοι ὄψονται Κορίνθιοι
φοιτῶντας εἰς οἶκον τὸν Περιάνδρου.

Περίανδρος Προκλεῖ.

Ἀμὴν μὴν ἀκούσιον τὰς δάμαρτος τὸ ἄγος· τὺ δ', ἐκὼν
πρὸ παιδὶ ὧ ἀπὸ θυμοῦ πτήσας, ἀδικεῖς. ἢ ὧν παῦσον
ταὶ ἀπόνοιαι τῶ παιδός, ἢ ἔχθ' ποι ἀμυνοῦμαι. ἐγὼ γὰρ δὴ
ἐγὼ αὐτὸς πινὰς ἔπεσα τὴν πεθυγατρὶ καπακαύσας αὖται
χὢ πᾶσαι Κορινθίαι ἕμαται.

ἔγραψε δ' αὖτῳ καὶ Θρασύβουλος οὕτως·

Θρασύβουλος Περιάνδρῳ.

Τᾷ μὲν κήρυκι σοῦ οὐδὲν ὑπεκρινάμην. ἀγαγὼν
δὲ αὐτὸν ἐς λήϊον, τοῖ ὑπερφυέας τᾶς ἀσταχύων ῥάβδῳ
παίων ἀπετέμνεν, ὁμαρτέοντος ἐκείνου. καὶ τοι αἰνα-
γελεῖ, εἰ ἐώρηο, ὅ, τι μευ ἀκούσειε ἢ ἴδοι. σύ τε ποίει οὕ-
τως, ὧ γ' ἐθέλῃς καρτυνᾶσθαι τὸν αἰσυμνητέων τοῖς
ἐξόχους τᾶς πολιτέων ἐξαίρειν, ὧ τέ τις ἐχθρός τι φαί-
νηται, ὧ τε μή. ὕπτιος αἰδρὶ αἰσυμνήτᾳ καὶ τᾶς τις
ἑταίρων.

ΑΝΑΧΑΡΣΙΣ Ο ΣΚΥΘΗΣ.

ΑΝάχαρσις ὁ Σκύθης Γνούρου μὲν ἦν υἱός, ἀδελφὸς
δὲ Καδουίδου τοῦ Σκυθῶν βασιλέως, μητρὸς δ' Ἑλ
λωνίδος. διὸ καὶ δίγλωττος ἦν. ἔσπευσε τὰ τε παρὰ τοῖς Σκύθαις νομίμων, καὶ τὰ παρὰ τοῖς Ἕλλησιν, εἰς
ἀπόλειαν βίου, καὶ τὸν πόλεμον, ἔτη ὀκτακόσια. πα-
ρέσχε δ' καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παρρησιαστὴς εἶ),
τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. λέγει δ' αὐτὸν Σωσικράτης ἦ
θην εἰς Ἀθήνας κατ' τὴν πεντηκοστὴν ἑβδόμην Ὀλυμ-
πιάδα, ὅτε ἦρχεν Εὐκράτης. Ἕρμιππος δ' ὡσὶς τὸν
Σόλωνος οἰκίαν ἀφικόμενον, τὸν θεσμοθετῶν ἐνίκησαν,

μιωύσαι ὅτι παρείη τοὺς αὐτὸν Ἀνάχαρσις, καὶ βούλοιτο αὐτὸν θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτι ὥρα ἐν τοῖς ἰδίοις πατρίοις ξένους ποιεῖνται. ἔνθεν ὁ Ἀνάχαρσις ἐλθὼν ἔφη, νῦν αὐτὸς ἐν τῇ πατρίδι εἶναι, καὶ τοὺς ἐκεῖ αὐτῷ ξένους ποιῆσθαι. ὁ δὲ, καταπλαγεὶς τὸ ἔπος μόνον, εἰσέρρησεν αὐτὸν, καὶ μέγιστον φίλον ἐποιήσατο. μετὰ χρόνον δὲ καὶ ἐγγυμόμενος εἰς τὴν Σκυθίαν, καὶ νομίζων τὰ νόμιμα καταλύειν τῆς πατρίδος, πολὺς ὢν, ἐν τῷ ἑλληνίζειν, ἐξυβρίσθεις ἐν κυνηγεσίῳ τοῦ ἀδελφοῦ, τελευτᾷ, εἰπών, Διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σεσῶσθαι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι. ἔνιοι δὲ τελετὰς Ἑλληνικὰς διαπελοῦντα διαχρησθῆναι. καὶ ἔστιν ἡμῖν εἰς αὐτὸν·

Ἐς Σκυθίην Ἀνάχαρσις ὅτ' ἦλυθε πολλὰ πλανηθείς,
Πάντας ἔπειθε βιοῦν ἤθεσιν Ἑλλαδικοῖς.
Τὸν δ' ἔπι μῶμον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα
Πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὠκὺς ὀϊστός.

Σόλωνι δὲ μέλον εἶπε τρεῖς φέρειν βόστρυς· τὸν μὲν πρῶτον, ἡδονῆς· τὸν δεύτερον, μέθης· τὸν τρίτον, ἀνδρίας. θαυμάζειν δὲ ἔφη πῶς παρὰ τοῖς Ἕλλησιν ἀγρυπνίζονται μὲν οἱ πεζοί, κρίνουσι δὲ οἱ μὴ πεζοί. Ἐρωτηθεὶς πῶς ἂν αὐτῷ γένοιτο ὁ φιλοπότης, Εἰ μὲν ὀφθαλμοὺς (εἶπεν) ἔχοι τοὺς τῶν μεθυόντων ἀχυμοσύνας. Θαυμάζειν τε ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων, τοὺς ἀθλητὰς ὑμῶν ὅταν τύπτειν ἀλλήλους. μαθὼν πέπαρας δακτύλους εἶναι τὸ πάχος τοῦ νεώς, ὅσον τὸν ἔφη τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν. τὸ ἔλαιον μανίας φάρμακον ἔλεγε, διὰ τὸ ἀλιφομβοῦντας τοὺς ἀθλητὰς ὀπτμᾶν νεῦρα ἀλλήλοις. πῶς (ἔλεγε) ἀπαγορεύοντες τὸ ψεύδεσθαι, ἐν ταῖς καπηλείαις φανερῶς ψεύδονται. καὶ θαυμάζειν φησὶ πῶς Ἕλληνες ἀρχόμενοι μὲν, ἐκ μικροῖς πίνουσι,

πληθύπες ὄϊ, ἐν μεγάλοις. ὀπτᾶται δ' αὐτὰ ταῖς ἰκόσι, γλάσης, γάρος, αἰδοίων κρατῆν. ἐρωτηθὲς εἰ εἰσὶν ἐν Σκύθαις αὐλοί, εἶπε, Ἀλλ' οὐδ' ἄμπελοι. ἐρωτηθὲς πότερα τῶν πλείων εἰσὶν ἀστραλέστερα, ἔφη, Τὰ νεογιλλικμύα. καὶ πῶς ἔφη θαυμασιώτατον εὑρηκέναι παρὰ τοῖς Ἕλλησιν, ὅτι τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλείπουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσιν. ἐρωτηθὲς πότεροι πλείονες εἰσὶν, οἱ ζῶντες, ἢ οἱ νεκροὶ, ἔφη, Τοὺς οὖν πλέονας πόθεν; ὀργιζόμενος ὑπὸ Ἀθηναίου ὅτι Σκύθης ὄφις, ἔφη, Ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρὶς, σοὶ δὲ, τῆς πατρίδος. ἐρωτηθὲς τί ὄφις ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, ἔφη, Γλῶσσα. χρῆσθαι ἔλεγεν ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον, ἢ πολλοὺς μηδενὸς ἀξίους. πρὸς ἄγροικόν τινα ὠφελιμώτερον ἔφη τὸν εἰς τὸ δημόσιον ἀπατᾶν καὶ πλεονεκτεῖν. ὑπὸ μειρακίου τινὸς πότον ὑβριστὴς, ἔφη, Μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον οὐ φέρῃς, γέρων ὑδροποτήσεις. εἰπόντος εἰς τὸν βίον ἄγκυραν τινὰ καὶ πειρατικὸν ἔχειν, ὡς φησι. καὶ ἐπέσταλκεν ὧδε·

Ἀνάχαρσις Κροίσῳ.

Ἐγὼ, βασιλεῦ Λυδῶν, ἄφιγμαι εἰς τὴν τῶν Ἑλλήνων, διδαχθησόμενος ἅπτα τὰ τούτων καὶ ὁπόσα εὔομαι. χρυσοῦ δ' οὐδὲν δέομαι, ἀλλ' ἀπόχρη με ἐπανήκειν ἐς Σκύθας αὖθις ἀμείνονα. ἥκω γοῦν ἐς Σάρδις, σοῦ μεγάλου ποιούμενος ἐν γνώμῃ τὸν ἡμέτερον.

ΜΥΣΩΝ.

Μύσων Σφυμότος, ὡς φησι Σωσικράτης, Ἑρμιονεὺς τῶν ἀπὸ Θήβης· τὸ γένος Χηνιάς, ἀπὸ κώμης ἧς Οἰταμίκης ἢ Λακωνικῆς· σοφὸς τῶν ἑπτὰ καταριθμεῖται. φασὶ δ' αὐτὸν καὶ πυρέττοντα παθεῖν. λέγεται δὲ καὶ πρὸς Ἀναχάρσιδος πωλουμένου, εἶπε αὐτὸ σοφὸ

περος εἴη, πλὴ Πυθίαν εἰπεῖν ἄφρ ωεφείρηται ἐν τῷ Θαλοῦ βίῳ ὑφ' Χείλωνος,

Οἰταῖόν πνα φημὶ Μύσων' ἐν Χλωὶ γλυέαθαι
Σοῦ μᾶλλον ωεφαπίδεσιν ἀρήρότα πευκαλίμησι.

πολυωεφημονήσαντα δὴ ἐλθεῖν εἰς πλὴ κώμλω, καὶ θύρεῖν αὐτὸν θέροις ἐχέτλλω ἀρότρῳ ωεφαρμόττοντα· καὶ εἰπεῖν, Ἀλλ', ὦ Μίσων, οὐχ ὥφελε νεῶ ἀρότρου· Καὶ μάλα (εἶπεν) ὥστε ὀπισθυάζειν. ἄλλοι δ' τὸν χρησμὸν οὕτως ἔχειν φασὶν, Ἠπεῖόν πνα φημί· καὶ ζητοῦσι τί ἐστιν ὁ Ἠπεῖος. Παρμενίδης μὲν οὖν δῆμον εἶ) Λακωνικῆς, ὅθεν εἶ) τὸ Μύσωνα. Σωσικράτης δ' ἐν διδασκαλίας, ἀπὸ μὲν πατρὸς Ἠπεῖον εἶ), ἀπὸ δὲ μητρὸς, Χλωέα. Εὐθύφρων δ' ὁ Ἡρακλείδου τοῦ Ποντικοῦ, Κρῆτα φησὶν εἶ)· (Ἠπείαν γὰρ, πόλιν εἶ) Κρήτης) Ἀναξίλαος δ' Ἀρκάδα. μέμνηται δὲ αὐτοῦ καὶ Ἱππώναξ, εἰπὼν, Καὶ Μύσων, ὃν Ἀπόλλων αἰεῖ πεν ἀνδρῶν σοφρονέσατον πάντων. Ἀριστόξενος δέ φησιν ἐν τοῖς ωερὶ διδασκάλλων, οὐ μόνον Τίμωνος αὐτὸν καὶ Ἀπημαντου γεγονέναι· μισανθρωπεῖν γὰρ. ὀφθῆναι γοῦν ἐν Λακεδαίμονι μόνον ἐπ' ἐρημίας γελῶντα· ἄφνω δέ τινος ὀπισθεν τος, καὶ πυθομένου διὰ τί μηδενὸς παρόντος γελᾷ, φάναι, Διὰ αὐτὸ τοῦτο. φησὶ δ' Ἀριστόξενος ὅτι ἔνθεν καὶ ἄδοξος ἦν, ὅτι μηδὲ πόλεως, ἀλλὰ κώμης, καὶ ταῦτα ἀφανοῦς. ὅθεν διὰ τὴν ἀδοξίαν αὐτοῦ, καὶ τὰ αὐτοῦ πνας Πεισιστράτῳ ωεισθῆναι τῷ τυράννῳ, χωρὶς Πλάτωνος τοῦ φιλοσόφου. μέμνηται γοῦν αὐτοῦ καὶ οὗτος ἐν τῷ Πρωταγόρᾳ, αὐτὸ Περιαίδρου υἱὸς αὐτόν. ἔφασκε δὴ, Μὴ ἐκ τῶν λόγων τὰ ωράγματα, ἀλλ' ἐκ τῶν ωραγμάτων τοὺς λόγους ζητεῖν. ἀ γὰρ ἕνεκα τῶν λόγων τὰ ωράγματα σωπλεῖσθαι, ἀλλ' ἕνεκα τῶν ωραγμάτων τοὺς λόγους. καὶ τέτρεψι δὲ βιοὺς ἔτη ἑπτὰ καὶ ἐνενήκοντα.

ΕΠΙΜΕΝΙΔΗΣ.

Ἐπιμενίδης, κατά τινα Θεόπομπος καὶ ἄλλοι συχνοί, παῖς μὲν ἦν Φαιστυοῖ ἢ Δωσπάδου τοῦ ἢ Ἀγησάρχου. Κρὴς τὸ γένος, ἀπὸ Κνωσσοῦ, καθεύδοντος τὴν κέρκυρα τὸ ἔδος θεραπεύσων. ἔστι δὲ πεφυκὼς θεῖος τὸ παῖς εἰς ἀγρὸν ὑπὸ θέρους πέμψαι τὸν πατέρα, τὸν ἀδελφὸν καὶ μετοικίσαι ἐκεῖσε καὶ πιπράσκοντα ἐπιδιαιτᾶσθαι ἢ μετὰ ταῦτα, ἐζήτει τὸ πρόβατον, τεμίζων ἐπ' ὀλίγον κεκοιμῆσθαι. ὡς ἢ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρὸν, καὶ μεσημβρίαν καταλαβὼν ἐν τῷ παρ' ἑτέρῳ τινὶ κήπῳ, πάλιν ἐκεῖ εἰς ἄντρον διατρίβειν. κἀκεῖ ἢ εἰς τὸν ἑαυτοῦ εἰσιὼν οἶκον, ἐθελοντὶ ἐκ τοσούτου ἔτη καθεύδειν ἐπ' ἐνιαυτοῦ τὸν νεώτερον ἀδελφὸν εὑρὼν ὄντα πρεσβύτην ἤδη, πᾶσαν ἡμαθὲς παρ' ἐκείνου τὴν ἀλήθειαν. μαθὼν ἢ ταῦτα ἐς Ἕλληνας, διεφιλοσόφησεν ἢ ὑπὲρ λήθης. ὅθεν Ἀθηναίοις πρὸ λοιμοῦ καταχθείσης ἔτους ἐγένετο ἡ Πυθία κελεῦσαι τὸν πολιτῶν ἕνα ἢ πέμπτον καὶ δέκατον καὶ Ναίαν τὴν Νικηράτου εἰς Κρήτην, καλέσοντας τὸν Ἐπιμενίδην. καὶ ὃς ἐλθὼν Ὀλυμπιάδι πεντηκοστῇ ἕκτῃ ἐκάθηρεν αὐτοῖς τὴν πόλιν, καὶ ἔπαυσε τὸν λοιμὸν ὧδε τὸν ἐπιλαβόντα θέρους μέλανά τε καὶ λευκά, ἄγαγε θεὸς τὸν Ἄρειον πάγον· κἀκεῖθεν ἐάσαι εἴασι εἴ τι βούλεται πρασσόμενος εἰς ἀκριβείαν, ἔνθα αὖ καταλίποι αὐτὸν ἕκαστον, δύεται τῷ θεσπέσιον διὰ καὶ οὕτω λέξαι τὸ καιρόν. ὅθεν ἔτι καὶ νῦν ὅθεν εὑρεῖν ἢ ἐς δῆμον τὴν Ἀθηναίων βωμοὺς ἀνωνύμους, ἐπίμετρα τῆς τῶν θεῶν ἐκλάσεως. οἱ δὲ τὴν αἰτίαν εἰπεῖν τοῦ λοιμοῦ τὸ κυλώνειον ἄγος, σημαίνοντα τὸν ἀπαλλαγήν. καὶ δὴ καὶ ὅσα ἐπανελθεῖν δύο νεανίας, Κρατῖνον καὶ Κροίσβιον, καὶ λυθῆναι τὸν συμφορά. Ἀθηναῖοι δὲ πάλαι τὴν ἐψηφίσαντο δεινῶν ἀνδρῶν, καὶ ναῦν τὸν εἰς Κρήτην ἀπο-

ξουσαν αὐτόν. ὁ δὲ πρῶτος ἀρχεῖον οὐ ποιήσατο· φιλίαν δὲ καὶ συμμαχίαν ἐποιήσατο Κνωσίων καὶ Ἀθηναίων. καὶ ἐπανελθὼν ἐπ' οἶκου, μετ' οὐ πολὺ μετήλλαξεν, (ὥς φησι Φάσηλον ἐν τῷ περὶ μακροβίων) βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν· ὡς δὲ Κρῆτες λέγουσι, ἐνὸς δέοντα τριακόσια. ὡς ὁ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησὶ, πέντε ἐτῶν πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν. Ἐποίησε δὲ Κουρήτων καὶ Κορυβαντῶν ἡβῆσαι. καὶ θεογονίαν, ἔπη πεντακισχίλια. Ἀργοῦς ναυπηγίαν τε, καὶ Ἰάσονος εἰς Κόλχους ἀπόπλουν, ἔπη ἑξακισχίλια πεντακόσια. συνέγραψε δὲ καὶ καταλογάδην περὶ θυσιῶν, καὶ τῆς ἐν Κρήτῃ πολιτείας· καὶ περὶ Μίνω καὶ Ῥαδαμάνθυος, εἰς ἔπη πεντακισχίλια. ἱδρύσατο δὲ καὶ παρ' Ἀθηναίοις τὸ ἱερὸν τῶν σεμνῶν θεῶν, ὡς φησι Λόβων ὁ Ἀργεῖος ἐν τῷ περὶ ποιητῶν. λέγεται δὲ καὶ περὶ τόπος οἰκίας καὶ ἀγορὰς καθῆραι, καὶ ἱερὰ ἱδρύσασθαι· εἰσὶ δ' οἱ μὴ κοιμηθῆναι αὐτὸν λέγουσιν, διὰ χρόνου. ἵνα ἐκπατήσας, ἀρχαιότροπον περὶ ῥιζοτομίαν. φέρεται δ' αὐτοῦ καὶ ὀψὲ πρὸς Σόλωνα τὸν νομοθέτην, περὶ ἐχούσης πολιτείαν ἣν διέταξε Κρὴς Μίνως. διὰ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν τε καὶ συγγραφέων, διελέγχειν πειρᾶται τὸν ὀψὲ ὡς νεαρὰν, καὶ μὴ τῇ Κρητικῇ φωνῇ κεχαραγμένην, Ἀτθίδι δ', καὶ ταύτην νέαν. ἐγὼ δὲ καὶ δίδυμον ὄψὲ ἔχουσαν οὕτως·

Ἐπιμενίδης Σόλωνι.

Θάρρει, ὦ ἑταῖρε. οὐ γὰρ ἐπὶ πονηροῖσιν Ἀθηναίοις καὶ μὴ ἀνομημένοις ἐπῆλθε Πεισίστρατος, εἶχε δὲ τὰς ἀρχὰς ἀεὶ, ἀνδραποδιζόμενος τοὺς πολίτας· νῦν δὲ οὐ κακῶς ἄνδρας δουλοῦται· τοὶ μεμαθηκότες τὰς Σόλωνος μανύσιος, ἀλγεινὴ παῖδα αἰσχύνας, οὐδ' ἂν ἐξόντας τυραννοῦνται. ἀλλ' οὐ γὰρ Πεισίστρατος καταφθείρει τὰν πόλιν,

οὐ μαὶ ἐς παῖδας τὸν ἔλπομαι τὸ κράτος ἵξεσθαι. δεκμάζουσι γὰρ, οἱ στρώτους ἐλθόντας ἐς πόλιος ἀρίστους, δούλους ἦμαρ. τὸ δὲ μὴ ἁλῶναι, ἀλλ' ἔρπειν Κρήτην πὰρ ἄνεμον. τοῖα γὰρ ἂν ἴσχειν τοι δῆτα ὁ μέταρχος. αἱ δέ κα πλατὺν ἐγκόρσωσι πόλιν τὸν φίλοι, δεκμάζω μὴ κακὸν πάθῃς.

καὶ ἔστι μὰν ὧδε. Φησὶ δὲ Δημήτριος ζυγὰς ἱστορεῖν ἐν λάβοι ἐν τυμφῷ ἑδεσμά τινα, καὶ φυλάττοι ἐν χαλκῇ βοΐς πεσσφερόμενός τι κατ' ὀλίγον, μηδεμιᾷ πειθόμενον ἀπειρίᾳ, μηδὲ ὀφθῆναι πὰ ἐδίων. μέμνηται αὐτοῦ καὶ Τίμαιος ἐν τῇ δευτέρᾳ. λέγουσι δέ τινες ὅτι Κρῆτες αὐτῷ θύουσιν ὡς θεῷ· φασὶ γὰρ καὶ γενέσθαι τὸν μαντικώτατον γεγονέναι. ἰδόντα γοῦν τὴν Μνημοσύνην παρ' Ἀθηναίοις, ἀγνοεῖν (φύσει) αὐτὴν ὅσων κακῶν αἴτιον ἔσται τὸ χωρίον αὐτοῖς· ἐπὶ κατὰ τοῖς ὁδεύσιν αὐτὸ διαφορῆσαι. ταῦτα ἔλεγε τοὺς τῶν θεσπίων χρήσεις. λέγεται δὲ ὡς ἡ Πυθὼ αὐτὸν Διὸς λέγει, ἡ Λακεδαιμονίοις θεσπίσαι τὴν ὑπὸ Ἀρκάδων ἅλωσιν θεσπιῳδῶν τε πολλάκις ἀναβεβιωκέναι. Θεόπομπος δ' ἐν τοῖς θαυμασίοις καταψεύδεται αὐτοῦ τὸ τῷ τυμφῷ ἱερὸν, ῥαγῆναι φησὶν ὑφ' ὑγρασίας, Ἐπιμενίδη, μὴ τυμφῷ, ἀλλὰ Διός. Κρησὶ δὲ θεσπίσαι τὴν Λακεδαιμονίων πᾶσαν ὑπὸ Ἀρκάδων, καθάπερ εἴρηται. καὶ δὴ καὶ ἐλήφθησαν θεὸς Ὀρχομενῷ. γενέσθαι δὲ ἐν πεντήκοντα ἡμέραις αὐτὸ ὅσα πὰρ ἔτη κατοικήθη· καὶ γὰρ τοσαῦτα φησὶ Θεόπομπος. Μυρωνιανὸς δὲ ἐν ὁμοίοις φησὶν ὅτι Κύρηνα αὐτὴν ἐκάλεσαν Κρῆτες· καὶ τὸ σῶμα αὐτοῦ φυλάττουσι Λακεδαιμόνιοι παρ' ἑαυτοῖς, κατὰ χρησμόν, ὡς φησι Σωσίβιος ὁ Λάκων. γενέσθαι δὲ καὶ Ἐπιμενίδαν ἄλλον δύο, ὅ, τε ψευδολόγος, καὶ τέταρτος ὁ Δωριεὺς γεγραφὼς περὶ Ῥόδου.

ΦΕΡΕΚΥΔΗΣ.

Φερεκύδης, Βάδυος, Σύριος, καθά φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς, Πιτθακοῦ διακήκοε. τοῦτον φησὶ Θεόπομπος σοφὸν περὶ φύσεως καὶ θεῶν Ἕλλησι γράψαι. πολλὰ δ' καὶ θαυμάσια λέγεται περὶ αὐτοῦ. καὶ γὰρ περὶ τὸν αἰγιαλὸν τῆς Ψάμμου περιπατοῦντα, καὶ ναῦν οὐριοδρομοῦσαν ἰδόντα, εἰπεῖν ὡς μετ' οὐ πολὺ καταδύσεται· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ καταδῦναι. καὶ ἀνίμηθέντος ἐκ φρέατος ὕδατος, πόντα, σφεῖς εἰπεῖν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός. καὶ χωρὶς ἰδεῖν. ἀπιόντα τε εἰς Ὀλυμπίαν ἐς Μεσσήνιον, τῷ ξένῳ Πεισιλάῳ συμβουλεῦσαι μεταοικίσαι μετὰ τῶν οἰκείων. καὶ τὸν μὴ πειθῶαι, Μεσσηνίοις δὲ ἀλωσιμαῖαν. καὶ Λακεδαιμονίοις εἰπεῖν, μήτε χρυσὸν ὑμᾶν μήτε ἄργυρον, ὡς φησι Θεόπομπος ἐν τοῖς θαυμασίοις. περιστάξαι δ' αὐτῷ ὄναρ τὸν Ἡρακλέα· ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς Σασπλοῦσι κελεῦσαι Φερεκύδην πείθεσθαι. ἔνιοι δὲ Πυθαγόρᾳ περιάπτουσι ταῦτα. φησὶ δ' Ἕρμιππος, πολέμου σωτῆρος Ἐφεσίοις καὶ Μάγνησι, βουλόμενον τοὺς Ἐφεσίους νικῆσαι, πυθέσθαι τινὸς παιδίου πόθεν εἴη. τοῦ δ' εἰπόντος, Ἐξ Ἐφέσου, Ἕλκυσόν με τίνων (ἔφη) τὴν σκέλων, καὶ θὲς εἰς τὴν τῶν Μαγνήτων χώραν· καὶ ἀπάγγειλόν σου τοῖς πολίταις, μετὰ τὸ νικῆσαι, αὐτόθι με θάψαι. ἐπισκηφέναι τε ταῦτα Φερεκύδει. ὁ μὲν ἀπήγγειλεν· οἱ δ', μετὰ μίαν ἐπελθόντες κρατῆσαι τῶν Μαγνήτων. καὶ τὸν τε Φερεκύδην μεταλλάξαντα θάπτοισιν αὐτόθι, καὶ μεγαλοπρεπῶς τιμῶσιν. ἔνιοι δέ φασιν ἐλθόντα εἰς Δελφοὺς ἀπὸ τοῦ Κωρυκείου ὄρους αὐτὸν δῦσαι. Ἀριστόξενος δ' ἐν τῷ περὶ Πυθαγόρου καὶ τῶν γνωρίμων αὐτοῦ, φησὶ, νοσήσαντα αὐτὸν ὑπὸ Πυθαγόρου θαρρῶαι ἐν Δήλῳ. οἱ δὲ, φθειριάσαντα τὸν βίον τελευτῆσαι. ὅτε καὶ

Πυθαγόρου ἀδαγμομένου, καὶ προδατομένου πῶς δέχεσθαι, δέρβαλόντα τῆς οὐρᾶς τὸν δάκτυλον εἰπεῖν, Χρωτὶ δῆλα. καὶ πωπυσθέντα ἀφ' ὧν ζῆς φιλοσόφεις ἢ λέξις ὅτι τῶν χειρόνων πάλεται· οἱ δ' ὅτι τῶν βελτίστων χρώμενοι, δέρματοπαίουσιν. ἔλεγέ τε ὅτι οἱ θεοὶ τὸν πράπτοντα συγγνώμην καλοῦσιν. Ἄνδρων δ' ὁ Ἐφέσιος δύο φησὶ γενέσθαι Φερεκύδας, Συρίους· τὸν μέν, ἀστρολόγον, τὸν δέ, θεολόγον, ὃν Βάθυλος, ὡς καὶ Πυθαγόραν ὠνόμασαν. Ἐρατοσθένης δ' ἕνα μόνον, καὶ ἕτερον Ἀθηναῖον, γεωμέτρην. σώζεται δὲ τοῦ Συρίου τόδε τὸ βιβλίον ὃ συνέγραψεν, οὗ ἡ ἀρχή, Ζὰς μὲν καὶ χρόνος εἰς ἀεί, καὶ χθὼν ἰών. Χθονίην δὲ ὄνομα ἔθηκε Γῆν, ἐπειδὴ αὐτῇ Ζὰς γέρας ἔδωκε. σώζεται δὲ καὶ ἡλιοτρόπιον ἐν Σύρᾳ τῇ νήσῳ. Φησὶ δὲ Δοσέας ἐν τῷ δευτέρῳ τῶν ἱερῶν, ὑπογεγράφθαι αὐτῷ τὸ ὑπόγραμμα τόδε,

Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἰὼ δὲ πλεῖον,
Πυθαγόρη τῷ μοι λέγε τοῦτ', ὅτι σοφὸς ἀπάντων
Ἐστὶν ἀν' Ἑλλάδα γῆν. ὑ φύδομαι ὧδ' ἀγορεύων.

Ἴων δ' ὁ Χῖος φησὶν αὐτοῦ,

Ὡς ὁ μὲν ἰωρέη τε κεκασμένος ἦεν ἀοιδῇ,
Καὶ φθέγμασι ψυχῆς πρηνὲς ἔχε βιότου.

Εἶναι δὲ Πυθαγόρην ἐτύμως ὁ σοφὸς πέλε πάντων
Ἀνδρῶν γνώμας εἶδε καὶ ἐξέμαθεν.

Ἔστι καὶ ἡμῶν οὕτως ἔχον τῷ μέτρῳ τῷ Φερεκρατείῳ,

Τὸν κλεινὸν Φερεκύδην,
Ὃν πάλαι ποτὲ Σύρος,
Ἐς φθινόπωρον λόγος ἦεν
Ἀλλάξαι τὸν βίον εἶδος

Θεῖναί τ' ἀοιδὴ κελεύειν
Μαγνήτων, ἵνα νίκω
Δοίη τοῖς Ἐφέσοιο
Γενναίοις πολίταις.
Ἦν γὰρ χρησμὸς, ὃν ἤδη
Μουσῶν, τῶν τὸ κελεύων.
Καὶ θνήσκει παρ' ἐκείνοις.
Ἆρ' οὖν τῶτ' ἄρ' ἀληθὲς
Ἦν, εἴ τις σοφὸς, ὄντως
Καὶ ζῶν ὄφελον ὄνησις,
Χ' ὥταν μηδὲν ὦ ἀρχή.

γέγονε δὲ κατὰ τὴν πεντηκοστὴν ἐνάτην Ὀλυμπιάδα. καὶ ἐτελεύτησεν ὧδε.

Φερεκύδης Θαλῆ.

Εὖ θνήσκοις, ὅταν τι τὸ χρεὼν ἥκοι νοῦσος μὲ καταλελάβηκε, δεδεγμένον τὰ σῶμα στόμα χάσματα. φθειρῶν ἔβρυον πᾶς, καί με εἶχεν ἡ πάλαι. ἐπέσκηψα δ' ὧν τοῖσιν οἰκήτησιν, ἐπήν με καταθάψωσιν, ἐς σὲ τὴν χαφλὴν ἐνέγκαι. σὺ δὲ ἴσως δοκιμάσῃς σὺν τοῖς ἄλλοις σοφοῖς, οὕτω μὲν φῆνον· ἴσως δὲ οὐ δοκιμώσῃς, μὴ φήνῃς. ἐμοὶ μὲν γὰρ οὐκ ἴσως δαπανᾷ. ἔστι δὲ ὅτε ἀπορεῖν πραγμάτων, οὐδὲ ἐπιχειρέομαι, οὔτ' ἀληθὲς εἰδέναι. ἄσσα δ' αὖ ὁπόλεγε θεολογέων, τὰ ἄλλα χρὴ νοεῖν. ἅπαντα γὰρ αἰνίσσομαι. τῇ ὀρθούσῃ περὶ εἴδωλος ὅτι μάλιστα, οὔτε τῷ ζῶντα ἰητρῶν, οὔτε τοῖς ἑταίροις ἐπέμιξα. ἐφεστεῶσι δὲ τῇ θύρῃ, καὶ εἰρομένοις οἱοῖόν τι εἴη, δύο δάκτυλον ἐκ τῆς κλειθρίης, ἔδειξ' αὖ ὡς ἔθνον τοῦ κακοῦ. καὶ ἐφεῖπ' αὐτοῖσιν ἥκειν εἰς τὸ ὑστεραίω ὅτι τὰ Φερεκύδεω ταφά.

Καὶ οὗτοι μὲν οἱ κλεινοὶ σοφοὶ, οἷς ζυνὴς καὶ Πεισί-

σραπον τὸν τύραννον ποιῆσαι παλέσαι. λεκτέον δὲ καὶ τῶν φιλοσόφων· καὶ πρῶτόν γε ἀρκτέον ἀπὸ τῆς Ἰωνικῆς φιλοσοφίας, ἧς καθηγήσατο Θαλῆς, οὗ διήκουσεν Ἀναξίμανδρος.

ΔΙΟΓ.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡτίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ βϛ τ̃ι.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ Πραξιάδου, Μιλήσιος. οὗτος ἔφασκεν ἀρχὴν καὶ στοιχεῖον τὸ ἄπειρον, ὑ ἀοριζων ἀέρα, ἢ ὕδωρ, ἢ ἄλλο τι. καὶ τὰ μὲν μέρη μεταβάλλειν, τὸ δὲ πᾶν ἀμεταβλητον εἶναι. μέσην τε τὴν γῆν κεῖσθαι, κέντρου τάξιν ἐπέχουσαν, οὖσαν σφαιροειδῆ· τήν τε σελήνην ψευδοφαῆ, καὶ ἀπὸ ἡλίου φωτίζεσθαι. ἀλλὰ καὶ τὸν ἥλιον εἶναι ἐλάττονα τῆς γῆς, καὶ καθαρώτατον πῦρ. εἶναι δὲ καὶ γνώμονα σοφὸν, καὶ ἔστησεν ὅπερ φησὶν Εὐβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ· ἔσπασέ τε καὶ ἰσημερίας σημαίνοντα καὶ ὡροσκόπια κατεσκεύασε. καὶ γῆς καὶ θαλάσσης σφαῖραν σοφὸν ἔχαραξεν. ἀλλὰ καὶ σφαῖραν κατεσκεύασε. τῶν δὲ ἀρεσκόντων αὐτῷ πεποίηται κεφαλαιώδη τὴν ἔκθεσιν, ἤκμαζε δὲ κατὰ τύχην καὶ ὁ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· ὃς καί φησιν αὐτὸν ἐν τοῖς χρονικοῖς, τῷ δευτέρῳ ἔτει τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος, ἐτῶν ἓξ καὶ ἑξηκονταπεντάρων· καὶ μετ' ὀλίγον τελευτῆσαι, ἀκμάσαντά που μάλιστα κατ' Πολυκράτη τὸν Σάμου τύραννον. τούτου φασὶν ἄδοντος καταγελάσαι τὰ παιδάρια· τὸν δὲ μαθόντα, φάναι, Βέλτιον οὖν ἡμῖν ἄδειν διὰ

τὸ παράδοξον γέγονε δὲ καὶ ἄλλος Ἀναξίμενης ἱστορικὸς, καὶ αὐτὸς Μιλήσιος, τῷ Γάδι γεγραφώς.

ΑΝΑΞΙΜΕΝΗΣ.

Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος, ἕτερος Ἀναξιμάνδρου ἑταῖρος ἢ ζηλωτὴς γενόμενος καὶ αὐτὸς ἀπεφήνατο ἄπειρόν τι τὸ ἀρχὴν εἶναι, καὶ οὐ τὰ στοιχεῖα, ὥσπερ ἐκεῖνος τὸ ὕδωρ· πυκνότητι γὰρ καὶ μανότητι διαφέρειν τὴν οὐσίαν, ἀλλὰ τῷ μὲν ὑγρῷ τὸν ἀέρα εἶναι, τῷ δὲ πεπυκνωμένῳ τὴν γῆν· ὑγρότητι δὲ καὶ ξηρότητι τὸ πῦρ. Ἐγένετο μέν (κατά φησιν Ἀπολλόδωρος) τῇ ἑξηκοστῇ τρίτῃ Ὀλυμπιάδι· ἐπιλύπησε δὲ δεῖ τὸν Σαρδέων ἁλῶναι χειρίσασθαι ἢ καὶ ἄλλως δύο, Δαμιάκουν φάσκων, καὶ ἱστορεῖ, ὡς ἀδελφὸς εἴη Βίωνος τοῦ μέτρια τὰ τοῦ Ἀλεξάνδρου σοφίσεις γεγραφότος. Ἔστι δὲ ὁ φιλόσοφος καὶ ἐπιστολὴν ὧδέ·

Ἀναξιμένης Πυθαγόρᾳ.

Θαλῆς σε καλεῖ ὅπως χρόνος σε βέπτιμος ἔσται. ἄωρον γάρ, ὡς σὺ οἶσθα, ἅμα τῇ ἀμφιτόλῳ σοφίᾳ σὺν τῷ ἀοιδίμῳ τὰ ἄρκα ἐμπεσεῖν. καὶ (οὐ γὰρ ἐς μακρὸν ἐξαπολυθούμενος εἰς τὸ κρεμαστὸν ἐμὲ καταπέσει. Μιλησίοισι μὲν νῦν ὁ μὲν Θαλῆς οὐ διαφόρως κεῖται πάλαι. ἡμᾶς δὲ οἱ λεγόμενοι, αἱ μὲν μιμνήσκουσι τὸ αἰθρίου, αἱ δὲ ἡμέων παῖδες τὸ καὶ λεγόμενον ὑποδέχονται. ἀρχὴ μέντοι πασῶν τῶν λόγων Θαλῆ αἰσαιέω. Καὶ πάλιν,

Ἀναξιμένης Πυθαγόρᾳ.

Εὐβουλίδαις τοῖς ἡμέων, μετοικήσας ἐς Σάμον εἰς Κρότωνα, ὀφθαλμοῖς εἰρωνεύει. οἱ δὲ Αἰσιάδαι παῖδες ἄλλως τε καὶ ἐφίλουσι. καὶ Μιλησίοις ἐν ὀπλίσι εἶναι σύμμαχοι. ἀρχὴ δὲ ἡμῖν καὶ ὁ Μίδου βασιλεὺς, οὐ λίθῳ γε ἐλαιμάξ διασημαφείσῃ· ἀλλὰ μίλακι δὴ ἀμφὶ τὰς ἐλευθερίης ἀκάνθας, ἵνωσι Μίδεω κεφαλὰς εἰς τὸ-

λεμεί· καταφᾶσι δ' οὐκέτι ἐλπὶς ἡμῖν φωτεμίης χάρις αὖθι
Ἀναξιμάνης ὁ Φωκαεὺς ἐτέρῳ αἰσχρολογίᾳ, ὁ δείματι ἐὼν
ὀλέθρου ἢ δουλοσύνης; σὺ δ' εἰ καθέζεο νῦν Κροτωνιήτῃσι μὴ τοῖσι ἄλλοισι Ἰταλιώτῃσι φοιτέοισι δὲ τοι λεχητάται καὶ ὁκ Σικελίης.

ΑΝΑΞΑΓΟΡΑΣ.

ΑΝαξαγόρας, Ἡγησιβούλου ἢ Εὐβούλου, Κλαζομένιος· οὗτος ἤκουσεν Ἀναξιμάνους. καὶ φησὶν ὁ τὴν ὕλην νοῦν ἐπισπεῖν, ἀρξάμενος οὕτω· Ὁμοῦ τὰ σύμπαντα, ὄντα ἄπειρα καὶ πλήθει καὶ σμικρότητι· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν. καὶ ὅλου μηδὲν εἶναι διωρισμένον, μόνου δὲ νοῦ τοῦτο εἶναι πάντα δὲ ὁμοίως μετέχειν τοῦ νοῦ τῶν ἐμψύχων. καὶ ὁμοίως κρατεῖν τὸ μέγα καὶ τὸ μικρόν. καὶ τὸ μὲν μικρὸν ὁμοίως πάντα εἶναι, τὸ δὲ μέγα ἕτερον ἑτέρου ἐπικρατεῖν. καὶ ἐν τῷ συγκρίνεσθαι ἐκκρίνεσθαι πάντα. καὶ φησὶν αὐτὸν Τίμων ἐν τοῖς Σίλλοις οὕτω,

Καί που Ἀναξαγόρην φασὶ ἔμμεναι ἄλκιμον ἄνδρα,
Νοῦν, ὅτι δὴ τόδε πάντα διεκόσμησε παρ' αὐτοῦ
Πάντα συμφορήσαντα ὁμοῦ πραγμάτια θέσθαι.

ἦν δὲ δημοτικὸς καὶ πλούτῳ διαφέρων τῶν, ἀλλὰ καὶ μεγαλοφροσύνῃ. ὃς γε τὰ πατρῷα παρεχώρησε τοῖς οἰκείοις. αἰτιασθεὶς γὰρ ὑπ' αὐτῶν ὡς ἀμελοῖ, Τί οὖν (ἔφη) οὐχ ὑμεῖς ἐπιμελεῖσθε; καὶ τέλος ἀπῆλθε. καὶ δὴ τινὰ τῶν φυσικῶν σκιαμαχίαν τῶν, οὐ φροντίζοντα τῶν πολιτικῶν. ὅτε καὶ πρὸς τὸν εἰπόντα, Οὐδέν σοι μέλει τῆς πατρίδος; Εὐφήμει (ἔφη) ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος· δείξας τὸν οὐρανόν. λέγεται δὲ καὶ τῶν Ξέρξου διβάσεις εἴκοσιν ἐπῶν εἰπεῖν βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς, γεγονέναι αὐτὸν τῇ ἑβδόμης Ὀλυμπιάδι, πεντηκοστῷ δὲ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς ὀγδόης. ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ὅτε Καλλίου, ἐπῶν εἴκοσιν ὤν, ὡς φησι Δημήτριος ὁ Φαληρεύς· ἐν ᾗ καὶ Δρυόπτων αἰσχραφὴς ἦν καὶ φασιν αὐτὸν ἐπῶν διατρίψαι πεντήκοντα. ἔλεγε τὸν ἥλιον μύδρον εἶ-

διάπυσιν καὶ μείζω τῆς Πελοποννήσου. οἱ δέ φασι Ταύπαλον. τὴν δὲ σελήνην εἰκόσις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας. ἀρχὰς δὲ τὰς ὑγρασίας. καθάπερ γὰρ ἐν τοῖς φυτοῖς λεγομένων τὸν χυμὸν σώζεσθαι, ὅπως ἂν τῇ ὑγρασίᾳ μικρὸν σωζόμενον τὸ πᾶν συγκεράσῃ. καὶ τὴν μὲν ἀρχὴν πήξεως τῇ μὲν σωζούσῃ τὰ μὲν βαρέα τὸν κάτω τόπον, οἷς τὴν γῆν· τὰ δὲ κοῦφα τὸν ἄνω διαφέρειν, οἷς τὸ πῦρ· ὕδωρ δὲ καὶ ἀέρα, τὸν μέσον. οὕτω γὰρ ὑπὸ τῆς γῆς πλατείας οὔσης τὴν θάλασσαν ὑποστῆναι, διαλιμασθέντων ὑπὸ τοῦ ἡλίου τῇ ὑγρᾷ. ἐπὶ ἄσρα κατ' ἀρχὰς μὲν θολερώδως ἐπεχθῆναι, ὥσπερ καὶ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶδος πόλον, ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν. καὶ τὸν γαλαξίαν ἀνάκλασιν εἶδος φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἄστρων. ζώνας δὲ κεκλῆσθαι, συνόδους πλανήτων, ὅλας ἀφιέντων· ζώνας τε διάπυρους ὑπὸ τοῦ ἀέρος ἀποπαλλεσθαι. αἱμάτους γίνεσθαι λεπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου. βροντὰς, συγκρούσεσι νεφῶν· ἀστραπὰς, ἐκπτώσεσι νεφῶν. σεισμὸν, ὑποδύσεσιν ἀέρος εἰς γῆν. ζῶα γίνεσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους· ὕστερον δὲ, ἐξ ἀνθρώπων. καὶ ἄρρενα μὲν ἀπὸ τοῦ δεξιοῦ, θήλεα δὲ ἀπὸ τοῦ ἀριστεροῦ. φασὶ δὲ καὶ τὸν Νείλον τρέφειν τὸν ὑπὲρ Λιβύης ποταμὸν χιονουμένων τῶν λιβυκῶν ὀρῶν, ὃν εἶναι ἐκ τῶν ἡλίου πεσεῖσαν. ὅθεν καὶ Εὐριπίδης μαθητὴν ὄντα αὐτοῦ, χρυσέαν βάλλει εἶναι τὴν ἠλέκτρῳ ἐκ τοῦ Φαέθοντος. διὰ καὶ εἰς Ὀλυμπίαν ἐλθόντα ἐκ δεκαπήχου καθίσαι, ὡς μέλλοντος ὕσειν καὶ χιονίσειν. ὅθεν τε τὴν εἰπεῖν, εἰ τὰ ὑπολαμβάνω ὄρη ἔσαι πεδία, φασὶν εἰπεῖν, Ἐὰν μὴ χόνος μὴ ὀπλίτην. ἐρωτηθεὶς ποῦ εἰς τὸ μεθύσκεσθαι, Εἰς θυωρεῖον ἔφη ἡλίου καὶ σελήνης καὶ ἐνεστικοῦ. ὅθεν τὸν εἰπόντα, Ἐστρέβλωσε Διονυσίου, Οὐ μᾶλλον ἔφη ἀλλὰ ὁκτὼ ἡμοῦ. ἰδὼν τὸν Μαυσώλου τάφον, ἔφη, Τάφος πολυτελὴς λελιθωμένης

ὄξιν οὐσίας εἴδωλον. πρὸς τὸν διαφορωῦντα ὅτι ὀπὶ ξένης πλουτᾷ, Πανταχόθεν (ἔφη) ὁμοία ὀδὸς ἡ εἰς ᾅδου κατάβασις. δοκεῖ δὲ πρῶτος (καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) τὼ Ὁμήρου ποίησιν ἀποφήνασθαι εἰς πρόφασιν καὶ διαμοσύνης. ὅτι πλεῖον δὲ πρᾶγμα τὸ λόγου Μητρόδωρον τὸν Λαμψακηνὸν, γράμμασιν ὄντα ἀυτὸ, ὃν καὶ πρῶτον ἀπούδασαι τὸ ποιεῖν πρὸς τὼ φυσικὼ πραγματείαν. πρῶτος δὲ Ἀναξαγόρας καὶ βιβλίον ἐξέδωκε συγγραφῆς. φησὶ δὲ Σάτυρος ἐν τῇ πρώτῃ τῶν ἱστορικῶν, ὅτι ἀρχοντος Διμύλου λίθον ἐξ οὐρανοῦ πεσεῖν· τὸν δὲ Ἀναξαγόραν εἰπεῖν ὡς ὅλος ὁ οὐρανὸς ἐκ λίθων συγκέοιτο· τῇ σφοδρᾷ δὲ περιδινήσει σωτεσάναι, καὶ αἰωρέντα κατενεχθήσεσθαι. πρὸς δὲ τῆς δίκης αὐτὸ διάφορα λέγεται. Σωτίων μὲν γάρ φησιν ἐν τῇ διαδοχῇ τῶν φιλοσόφων, ὑπὸ Κλέωνος αὐτὸν ἀσεβείας κριθῆναι, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον· ἀπολογησαμένου δὲ ὑπὲρ αὐτοῦ Περικλέους τοῦ μαθητοῦ, πέντε ταλάντοις ζημιωθῆναι καὶ φυγαδευθῆναι. Σάτυρος δὲ ἐν τοῖς βίοις ὑπὸ Θουκυδίδου φησὶν εἰσαχθῆναι τῷ δίκῃ, ἀπὸ πολιτευσαμένου τῷ Περικλεῖ. καὶ οὐ μόνον ἀσεβείας, ἀλλὰ καὶ μηδισμοῦ· καὶ ἀπόντα καταδικασθῆναι θανάτου. ὅτε δὴ ἀμφοτέρων αὐτῷ πρᾶγμα γεγενημένων, τῆς τε καταδίκης δὴ τῆς τῶν παίδων πατρίδος, εἰπεῖν, περὶ μὲν τῆς καταδίκης, ὅτι Ἆρα κἀκείνων κἀμοῦ πάλαι ἡ φύσις καταψηφίσατο· πρὸς δὲ τῶν παίδων, ὅτι Ἠδικήκασι γὰρ οὐδὲν γεννήσας. οἱ δὲ εἰς Σόλωνα τοῦτο ἀναφέρουσιν· ἄλλοι εἰς Ξενοφάνη. τοῦτον δὲ καὶ θάψαι ταῖς ἰδίαις χερσὶν αὐτοὺς Δημήτριος φησὶν ὁ Φαληρεὺς ἐν τῷ περὶ γήρως. Ἕρμιππος δὲ ἐν τοῖς βίοις φησὶν ὅτι καθειρχθὴ ἐν τῷ δεσμωτηρίῳ πεθηξόμενος. Περικλῆς δὲ παρελθὼν εἶπεν εἴ τι ἔχουσιν ἐγκαλεῖν αὐτῷ κατ' τὸν βίον· οὐδενὸς δὲ εἰπόντος, Καὶ μὴν ἐγὼ (ἔφη) τούτου μαθητὴς εἰμι. μὴ οὖν διαβολαῖς ἐπαρθέντες

ἀποκτείνητε τὸν ἄνδρα, ἀλλ' ἐμοὶ πιαθέντες ἄφεπ. καὶ ἀφείθη. ὃν ἐγκρὸν δὲ τῷ ὕβρει, ἑαυτὸν ἐξήγαγεν. Ἱερώνυμος δὲ ἐν τῷ δευτέρῳ τῆς ἀποφάσεως ὑπομνημάτων φησὶν ὅτι ὁ Περικλῆς παρήγαγεν αὐτὸν ὑπὸ τὸ δικαστήριον. διεῤῥυπκότα καὶ λεπτὸν ὑπὸ νόσου, ὥστε ἐλέῳ μᾶλλον ἢ κρίσει ἀφεθῆναι. καὶ τὰ μὲν περὶ τῆς δίκης αὐτοῦ, τοσαῦτα. ἔδοξε δέ πως καὶ Δημοκρίτῳ ἀπεχθῶς ἐφιλόσοφηκέναι, ἀπτυχὼν τῆς περὶ αὐτὸν περιπολογίας. τέλος ἀποχωρήσας εἰς Λάμψακον, αὐτόθι κατέστρεψεν. ὅτε καὶ τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων τί βούλεται αὐτῷ γενέσθαι, φάναι, ἐις παῖδας, ἐν ᾧ αὐ ἀποθάνῃ μηνὶ κῆ ἔτος παῖζειν συγχωρεῖν. καὶ φυλάττεται τὸ ἔθος καὶ νῦν. πλουτήσαντα δὲ αὐτὸν ἔθαψαν ἐντίμως οἱ Λαμψακηνοὶ, καὶ ἐπέγραψαν,

Εἰνταῦθα πλεῖστον δὴ ἠπάτας ὅτι πέρμα φρήσας
Οὐρανίου κόσμου κεῖται Ἀναξαγόρας.

ἔστι καὶ ἡμῶν εἰς αὐτὸν,

Ἥλιον πυρόεντα μύδρον πᾶσι φάσκειν ἐναρίζειν,
Καὶ δι' ὃν τοῦτον θανεῖν μέλλειν Ἀναξαγόρας·
Ἀλλ' ὁ φίλος Περικλῆς μ' ἐρύσατο τοῦτον, ὁ δ' αὖτε
Ἐξάγαγεν βιότου μαλθακὴν Σοφίης.

γέγραπται δὲ καὶ ἄλλοι τρεῖς Ἀναξαγόραι, ὧν ἐν οὐδενὶ πάντα· ἀλλ' ὁ μὲν, ἦν ῥήτωρ Ἰσοκράτειος· ὁ δὲ, ἀνδριαντοποιὸς, οὗ μέμνηται Ἀντίγονος· ἄλλος, γραμματικὸς Ζωοδότειος.

ΑΡΧΕΛΑΟΣ.

Ἀρχέλαος, Ἀθηναῖος, ἢ Μιλήσιος· παῖς Ἀπολλοδώρου, ὡς δέ τινες, Μύδωνος. μαθητὴς Ἀναξαγόρου, διδάσκαλος Σωκράτους. ἔοικε τοίνυν ἐν τῇ Ἰωνίᾳ τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε. καὶ ἐκλήθη φυσικός. παρὸ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσαγαγόντος. ἔοικε δὲ καὶ

τοῦ ἄψασθαι τῆς ἠθικῆς. καὶ γὰρ θεὶ νόμων περὶ σοφίας καὶ καλῶν καὶ δικαίων παρ' οὗ λαβὼν Σωκράτης, τῷ αὐξῆσαι εἰς τὸ βύρειν ὑπελήφθη. ἔλεγε δὲ δύο αἰτίας εἶναι γλυκέσιν, θερμὸν καὶ ψυχρόν· καὶ τὰ ζῶα ἀπὸ τῆς ἰλύος γλυκαίνεσθαι. καὶ τὸ δίκαιον εἶναι καὶ τὰ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ. ὁ δὲ λόγος αὐτῷ οὕτως ἔχει. τὸ κρῶμον φησὶ τὸ ὕδωρ ὑπὸ τοῦ θερμοῦ, καθὸ μὲν εἰς τὸ πυρώδες πεισθὲν, πικρὸν εἶναι γλυκὺ· καθὸ δὲ περιῤῥεῖ, ἀέρος γλυκαίνειν. ὅθεν οἱ μὲν, ὑπὸ τοῦ ἀέρος, ὁ δὲ ὑπὸ τῆς τοῦ πυρὸς περιφορᾶς κρατεῖται. γλυκαίνεσθαι δέ φησι τὰ ζῶα ἐν θερμῇ τῆς γῆς, καὶ ἰλὺν περιπλησίαν γάλακτι, ὃς ἔφλυε, αἰσθέσεως. οὕτω δὲ καὶ τοὺς ἀνθρώπους πίνειν. περὶ δὲ εἶπε φυσικῆς γλύσεσιν πλὴν τὸ ἀέρος πλῆξιν. Πλὴν δὲ θαλάσσαν ἐν τοῖς κοίλοις δι' ἣν τῆς γῆς ἀθρυμμάτων συνεστάναι. Μέγιστον δὲ ἅρμα τὸν ἥλιον, καὶ τὸ πᾶν ἄπειρον. γενέσθαι δὲ καὶ ἄλλους τρεῖς Ἀρχέλαους. ὁ χωρογράφος τῆς ὑπὸ Ἀλεξάνδρου παραθέσεως γῆς, ὁ δὲ ἰδιοφυὴς ποιήσας, ἄλλος τεχνογράφος ῥήτωρ.

ΣΩΚΡΑΤΗΣ.

Σωκράτης Σωφρονίσκου μὲν ἦν υἱὸς λιθουργὸς, καὶ Φαιναρέτης μαίας, ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ φησὶν) Ἀθηναῖος, τῶν δήμων Ἀλωπεκῆθεν. ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ· ὅθεν Μνησίλοχος οὕτω φησὶ,

Φρύγες ὅδε καινὸν δρᾶμα τῷ Εὐριπίδου,

Ὦ. ἢ Σωκράτης τὰ φρύγανα ὑποτίθησι. ἢ πάλιν. Εὐριπίδης, Σωκρατόμφους· καὶ Καλλίας πεδήτας.

Ἦ δὴ σὺ σιμὴ ἢ φρονεῖς· οὕτω μέγας;
Ἔξεστι γάρ μοι. Σωκράτης γὰρ ἄπος.

Αἰσχροφάνης νεφέλας,
Εὐριπίδης θ' ὁ ταῖς τραγῳδίας ποιῶν
Τὰς περιλήρους τοῦτ' ὅδε ταῖς Σφαῖς. ἀκούσας δ' Ἀναξαγόρου, κατὰ πᾶσαν, δηλαδὴ ἢ Δάμωνος, ὡς Ἀλέξανδρος.

ἐν διαδοχαῖς, μετὰ τὴν ἐκείνου καταδίκην διήκουσεν. Ἀρχελάου τε φυσικοῦ καὶ παιδικὰ γενέσθαι φησὶν Αἰσχύλος. Δοῦλος δὲ καὶ δουλεῦσαι αὐτὸν καὶ ἐργάσασθαι λίθους. εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει χάριτας ἔνιοί φασιν, ἐνδεδυμένας ἅσας. ὃν καὶ Τίμων ἐν τοῖς Σίλλοις εἰπεῖν,

Ἐκ δ' ἀρα τοῦ ἀπέκλινε λιθοξόος, ἀνομολέσχης,
Ἑλλήνων ἐπαοιδός, ἀκριβολόγος ἀποφήνας,
Μυκτὴρ ῥητορόμυκτος, ἰσαπικός, εἰρωνευτής.

ἵν' καὶ ἐν τοῖς ῥητορικοῖς δεινός, ὥς φησι καὶ Ἰδομενεύς. ἀλλὰ καὶ οἱ πελάται τὰ αὐτὸν ἐκώλυσαν πέρας διδόναι λόγων, ὥς φησι Ξενοφῶν. καὶ Αἰσχίνης αὐτὸν κωμῳδεῖ, ὡς τὸν ἥλιον λόγον κρέμασε ποιοῦντα. καὶ γὰρ τοῦτο, (ὥς φησι καὶ Φαβωρῖνος ἐν παιπαλαπῇ ἱστορίᾳ) μετὰ τὸν μαθητὴν Ἀναξίμενον ῥητορεύειν ἐδίδαξε. λέγει δὲ τοῦτο καὶ Ἰδομενεὺς ἐν τοῖς περὶ τοῦ Σωκράτους. καὶ τοῦτος περὶ βίου διελέχθη, καὶ τοῦτος φιλοσόφων καταδικασθεὶς ἐπέλυσε. φησὶ δ' αὐτὸν Αἰσχύλος ὁ Σπινθάρου καὶ χρηματίσασθαι. ὧδέ πως γοῦν τὸ καλλόμβιον κέρμα ἀνηρίθμησεν εἶτ' ἀναλώσαντα, πάλιν πλεῖναι. Κείνων δ' ἀναπόντων αὐτὸν ἀπὸ τοῦ ἐργαστηρίου, καὶ παιδεῦσαι, τῆς τε ψυχῆς χάριτος ἐφαπτόμενον, Δημήτριος φησὶν ὁ Βυζάντιος. πόθεν δὲ τοῦ φυσικοῦ θεωρίαν μηδὲν εἰδὼς πρὸς ἡμᾶς, τάχ' ἂν καὶ φιλοσοφεῖν ὅπη τε τῆς ἐργαστηρίων καὶ ἐν τῇ ἀγορᾷ. κἀκεῖνα δὲ φάσκειν ζητεῖν,

Ὅ, τι τοι ἐν μεγάροισι κακὸν τ' ἀγαθόν τε τέτυκται.

πολλάκις δὲ διαμόρου ἐν ταῖς ζητήσεσι διαλεγόμενον καταδυλίζεσθαι καὶ ὠθεῖσθαι, τό τε πλέον καὶ τὰ φρονούμενον καὶ πάντα ταῦτα φέρειν ἀνεξικάκως. ὅθεν καὶ λακπαθέντα, ἐπειδὴ ἠνέσχετο, τινὸς θαυμάσαντος, εἰπεῖν, Εἰ δέ με ὄνος ἐλάκτισε, δίκην αὖ αὐτῷ ἐλάγχανον καὶ ταῦτα μὰ Δημήτριος. ἀποδημίας δὲ ὅτε ἐδεήθη, κα-

δαίμων οἱ πλείους, πλὴν εἰ μὴ στρατεύεσθαι ἔδη. τὸ δὲ λοιπὸν αὐτόθι μένων, φιλονεικότερον σωιζήτει τοῖς περιδιαλεγομένοις, οὐχ ὥστε ἀφελέσθαι τὴν δόξαν αὐτοῖς, ἀλλ' ὥστε τὰληθὲς ἐκμαθεῖν πειρᾶσθαι. φασὶ δ' Εὐριπίδην αὐτῷ δόντα τὸ Ἡρακλείτου σύγγραμμα, ἐρέσθαι, Τί δοκεῖ; τὸν δὲ φάναι, Ἃ μὲν σωῆκα, γλυκέα· οἶμαι δέ, καὶ ἃ μὴ σωῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ. ἐπεμελεῖτο δὲ καὶ σωματικῆς, καὶ ἱππικῆς. ἐστρατεύσατο μὲν εἰς Ἀμφίπολιν· καὶ Ξενοφῶντα ἀφ' ἵππου πεσόντα ἐν τῇ κατ' Δήλιον μάχῃ, διέσωσεν ἀναλαβών. ὅτε καὶ πάντων φευγόντων Ἀθηναίων, αὐτὸς ἠρέμα ἀνεχώρει, παρεπιστρεφόμενος ἡσυχῇ, καὶ τινὰ ἀμυνάσθαι εἴ τις οἱ ἐπέλθοι. ἐστρατεύσατο δὲ καὶ εἰς Ποτίδαιαν διὰ θαλάττης· πεζῇ γὰρ οὐκ ἐνῆν, τοῦ πολέμου κωλύοντος. ὅτε καὶ μείναι νυκτὸς ὅλης ἐφ' ἑνὸς χώματος αὐτὸν φασι, καὶ ἀριστεύσαντα αὐτίδιον σῶσαι χωρήσαντα Ἀλκιβιάδην τὸ ἀγγείου. οὗ καὶ ἐραστὴν φησὶν αὐτὸν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παιδικῆς τρυφῆς. Ἴων δὲ ὁ Χῖος καὶ νέον ὄντα εἰς Σάμον σὺν Ἀρχελάῳ ἀποδημῆσαι, καὶ Πυθῶδε ἐλθεῖν Ἀριστοτέλης φησίν. ἀλλὰ καὶ εἰς Ἰσθμόν, ὡς Φαβωρῖνος ἐν τῷ πρώτῳ τῶν ἀπομνημονευμάτων. ἦν δὲ καὶ ἰσχυρογνώμων καὶ δημοκρατικός, ὡς δῆλον ἔκ τε τοῦ μὴ εἶξαι τοῖς περὶ Κριτίαν, κελεύουσι Λέοντα τὸν Σαλαμίνιον πλούσιον ἄνδρα ἀγαγεῖν πρὸς αὐτούς, ὥστε ἀπολέσθαι· ἀλλὰ καὶ μόνος ἀπεψηφίσατο τῶν δέκα στρατηγῶν· καὶ ἐνὸν αὐτῷ ἀποδρᾶναι τῆς εἱρκτῆς, μὴ ἠθελῆσαι. τοῖς τε κλαίουσιν αὐτὸν ὀπλῆξαι, καὶ τοῖς καλλίσοις λόγοις ἐκείνοις δεδεμένον διαθέσθαι. αὐτάρκης τε ἦν καὶ σεμνός· καί ποτε Ἀλκιβιάδου (καθά φησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν ὑπομνημάτων) δίδοντος αὐτῷ χώραν μεγάλην ἵνα οἰκοδομήσηται οἰκίαν, φάναι, Καὶ εἰ ὑποδημάτων ἔδει, βύρσαν μοι ἐδίδους ἵν' ἐμαυτῷ ὑποδήματα ποιησαίμην; καὶ κα-

παλέλασος αὐτῶν λαβών. πολλάκις δ' ἀφορῶν εἰς τὸ πλῆθος τῶν παρεσκευασμένων, ἔλεγε πρὸς αὐτόν, Πόσων ἐγὼ χρείαν οὐκ ἔχω. καὶ συνεχῶς ἐνέπτυε τὰ ἰαμβεῖα,

Τὰ δ' ἀργυρώματ' ὄσιν, ἢ πτερόεντα,
Εἰς ἃς τραγῳδοὺς χρήσιμ', οὐκ εἰς τὸν βίον.

ὑπερφρόνησε δὲ καὶ Ἀρχελάου τοῦ Μακεδόνος, καὶ Σκόπα τοῦ Κραννωνίου, καὶ Εὐρυλόχου τοῦ Λαριασαίου, μήτε χρήματα προσιέμενος αὐτῶν, μήτε παρ' αὐτοῖς ἀπολαύων. οὐ τάχα δέ τινων τοιούτων ὄντων, ὡς περ πολλοὺς Ἀθηναίων λοιμῶδες ἡγουμένων μόνος οὐκ ἐνόσησε. φησὶ δ' Ἀριστοτέλης δύο γυναῖκας αὐτὸν ἀγαγέσθαι· πρώτην μὲν, Πυθιάδα τὴν ἐξ Ἐρέτριας ἡγέσθαι λαμπρῶς καὶ ἀδυτέραν δὲ, Μυρτώ, τὴν Ἀριστείδου δικαίου θυγατέρα· ὧν καὶ ἄπαιδα τεκεῖν ἐξ ἧς ἡγέσθαι Σωφρονίσκον καὶ Μενέξενον. οἱ δὲ, πρώτην γῆμαι τὴν Μυρτὼ φασὶν ἔνιοι δέ, καὶ ἀμφοτέρας ἔχειν ἐμοῦ δὲ μᾶλλον ἔστι δῆλον ὅτι Σάτυρός τε καὶ Ἱερώνυμος ὁ Ῥόδιος. φασὶ γάρ, βουληθέντας Ἀθηναίους, διὰ τὸ λειποστρατεῖν, συναυξῆσαι τὸ πλῆθος, ψηφίσασθαι, γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑταίρας. ὅθεν πρῶτον πιεῖν αὐτὸν καὶ Σωκράτην. ὧν δ' ἕνεκα καὶ τὴν σκωπτόντων αὐτὸν ὑπερορᾶν. καὶ εἰσηγεῖτο ὅπως τῇ ἀπειλείᾳ, μηδὲν πρὸς δίκην εἰσφέρειν. καὶ ἔλεγεν, ἥδιστα ἐθέλων, ἥκιστα ὄφλειν προσδεῖσθαι· καὶ ἥδιστα πίνων, ἥκιστα τὸ μὴ παρὸν πιεῖν αἰσθάνεσθαι· καὶ ἐλαχίστου δεόμενος, ἔγκλισιν εἶναι δοκῶν. ὅπου δ' ἐνίοις καὶ τῶν ἑταίρων ἐμφορήσασθαι λαβεῖν, εἰ λανθάνοιεν ἑαυτοὺς δι' ὧν σκώπτοιεν ἐπαγόμενοι αὐτόν. Ἀριστοφάνης μὲν οὕτως·

Ὦ δ' μεγάλης ὀλιγωρήσας σοφίας ἄνδρα δικαίως,
Ὡς ἀδαήμονα παρ' Ἀθηναίοις καὶ τοῖς ἄλλοις δηλαδὴ.

εἶπε,

Μηνῶν δ' φροντὶς, δ' τ' ἐλαίπωρον ἔτεσιν
Ἐν τῇ γεωμέτρῃ, κοὐκ ἔστι καμπὴ ἔνθ' ἰσὼς ὅπι βαδίζων,

Οὔτ' αὖ ῥιγῶν ἄχθηλίαν, ὥστ' ἀρίστων ὀπωπυμείς,
Οἵη γ' ἀπέχη καὶ ἀδηφαγίας, καὶ τῶν ἄλλων αἰσχίστων.

Ἀμειψίας δ' ἐν τείβωνι φησὶν οὕτως, Σώκρατες ἀνδρῶν βέλτιστ' ὀλίγων, πολλῶν δὲ ματαιόταθ', ἥκεις καὶ σὺ πρὸς ἡμᾶς, καρτερικὸς γ' ἐξ. πόθεν ἄν σοι χλαῖνα γένοιτο; ζυπὶ τὸ κακὸν τὸ σκυτοπήμων κατ' ἐπήρειαν γεγένηται. σαπρὸν μέντοι πινῶν οὕτως, ὑπώπτ' ἔτλη κολακεύσαι. τοῦτο δ' αὐτὸς τὸ ὑποφορτικὸν καὶ μεγαλόφρον ἐμφαίνει καὶ Ἀριστοφάνης, λέγων οὕτως, ὅτι

Βρενθύη τ' ἐν τῇ ὁδοῖς, καὶ τῷ φθόγγῳ σαρδάζῃς,
Καὶ πυρδήτεις, κακὰ πολλὰ αἴσχη, καὶ ἐν ἡμῖν σεμνοπροσωπεῖς.

καίτοι ἐνίοτε πρὸς τοὺς καιροὺς ἁρμοπόλημος, καὶ λαμπρὰ ἡμπίσχετο· καθάπερ ἐν τῷ Πλάτωνος συμποσίῳ παρ' Ἀγάθωνα βαδίζων. ἱκανὸς δ' ἀμφότερα ἦν, καὶ πρέπειν καὶ ἀπρέπειν. ὡς γὰρ τὸ Θεαίτητον, πρὶν ὀπτήμενος διαλεχθεὶς, ἔνδεον ἀπέπεμψε, καθὰ καὶ Πλάτων φησὶν· Εὐθύφρονα δὲ τὸν παιδικὸν χαλκάμονον ξενίας δίκην, πρὶν οἱονεὶ ζυὰ διαλεχθεὶς ἀπήγαγε. καὶ τὸν Λύσιν δὲ ἠθικώτατον ἐποίησε πρεπόντως. οὕτω γὰρ ἱκανὸς ἀπὸ τῶν πραγμάτων τοὺς λόγους διείσκειν. ἐπέτρεψε δὲ καὶ Λαμπροκλέα τὸν υἱὸν τῇ μητρὶ ἀγειρομένην, ὡς που καὶ Ξενοφῶν φησι. καὶ Γλαύκωνα μὲν τὸν Πλάτωνος ἀδελφὸν θέλοντα πολιτεύεσθαι, ἀπέτρεψε, διὰ τὸ ἀπείρως ἔχειν, ὡς φησι Ξενοφῶν· Χαρμίδην δὲ τοὐναντίον ἐπέτρεψεν, οἰκείως ἔχοντα. ἐπῆρε δὲ καὶ εἰς φρόνημα Ἰφικράτην τὸν στρατηγὸν, δείξας αὐτῷ τὸ κουρέως Μίδου ἀλεκτρυόνας αἰτίου τῶν Καλλίου περιξαισμούς. καὶ αὐτὸν Γλαυκωνίδης ἠξίου τῇ πόλει πρεπιεῖν, καθάπερ φασιανὸν ὄρνιν, ἢ ταὼ. ἔλεγε δὲ ὡς θαῦμα, τὰ μὲν ἔκαιον φέρειν αὖ ῥᾳδίως ὅσα ἔχοι, φίλοις δ' ὅτι αὖ ὀνομάσαι ὁπόσους κέκτηται· οὕτως ὀλιγώρως ἔχει πρὸς αὐτούς. ὁρῶν

λ' Εὐκλείδου τε ἀκουσάντα περὶ τῶν ἐριστικῶν λόγων, ὦ Εὐκλείδη (ἔφη) θρίσαις οὐ δυνήσῃ χρῆσθαι, ἀνθρώπις ὢν οὐδαμῶς. ἄχρηστον γὰρ ὥσπερ ἐστὶ τὸν περὶ ταῦτα ἀργολογίαν, ὡς καὶ Πλάτων ἐν Εὐθυδήμῳ φησί. Χαρμίδου τε εἰπόντος αὐτῷ διδόντος, ἵν' ἀπ' αὐτοῦ πλουτοδευσιτο, οὐκ εἴλετο· καὶ τὸ κάλλος ὑπερεῖδεν Ἀλκιβιάδου, καπάνας. καὶ ἐπήνει σχολὴν, ὡς κάλλιστον κτῆμα, καθὰ καὶ Ξενοφῶν ἐν συμποσίῳ φησίν. ἔλεγε δὲ καὶ ἓν μόνον ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην· καὶ ἓν μόνον κακὸν, τὴν ἀμαθίαν. πλοῦτον δὲ καὶ εὐγένειαν οὐδὲν σεμνὸν ἔχειν· παῖδὲ ζωάριον, κακόν. εἰπόντος τινὸς ὅτι ἐκ Λυπεδαίμονος μητρὸς Θρᾴττης, Σὺ δ' ὤου (ἔφη) οὕτως ἂν γενναῖος ἢ ἐκ δυοῖν Ἀθηναίων γενέσθαι; Φαίδωνα δὲ αἰχμαλωσίαν ἐπ' οἰκήματος καθήμενον παρέταξε Κείτων· λυτρώσασθαι, καὶ φιλόσοφον ἀπεργάσατο. ἀλλὰ καὶ λυρίζειν ἐμανθανεν ὅτι καιρός· μηδὲν λέγων ἄτοπον εἶναι, ἂν μὴ οἶδεν ἐκμανθάνειν. ἔτι τε ὠργεῖτο σὺν ἐχεῖ, τὴν σώματος ἀνεξίαν λοιπὸν εἶναι νομίζων τὴν ταὐτὸν γυμνασίαν, ὡς καὶ Ξενοφῶν ἐν συμποσίῳ φησίν. ἔλεγε δὲ καὶ παρημαίνειν τὸ δαιμόνιον τὰ μέλλοντα αὐτῷ. τὸ, τε δεῖ δρᾶν, μικρὸν μὲν μὴ εἶναι, οὐδὲ μικρὸν δέ. καὶ εἰδέναι μὲν μηδὲν, πλὴν αὐτὸ τοῦτο εἰδέναι. τοὺς τε ἐν ὥρᾳ πολλῶν ἐρωτικοὺς, ἀπεμνώσκειν ἔλεγεν εἰς τὰς ὥρας ἐλθεῖν. καὶ ποτε ἐρωτηθεὶς, Τίς ἀρετὴ νέου; Τὸ μηδὲν ἄγαν, εἶπεν. ἔφασκέ τε δεῖν γεωμετρεῖν, μέχρι οὗ τις μέτρῳ δυνήσεται γῆν τε διαλαβεῖν καὶ διαδοῦναι. Εὐριπίδου τε ἐν τῇ Αὐγῇ εἰπόντος τὴν ἀρετὴν, Κράτιστον εἶναι ταῦτ' ἐὰν ἀφανισθῇ, αἰασας ἐξῆλθε· φήσας, γελοῖον εἶναι, ἀνδράποδον μὲν, μὴ διερευνώμενον, ἀξιοῦν ζητεῖν· ἀρετὴν δ' οὕτω ἐὰν ἀπολωλέναι. ἐρωτηθεὶς πότερον γήμαι ἢ μὴ, ἔφη, ὃ ἂν αὐτῷ ποιήσῃς, μεταγνώσῃ. ἔλεγέ τε θαυμάζειν τοὺς λιθίνους εἰκόνας κατασκευαζομένων· τοὺ

μὴ λίθου φρονεῖν, ὡς ὁμοιότατος ἔσαι· αὐτῷ δ' ἀμελεῖν, ὡς μὴ ὁμοίους τῷ λίθῳ φαίνεσθαι. ἠξίου δ' ἡ τοὺς νέους συνεχὲς καταπείζεσθαι, ἵν' εἰ μὲν καλοὶ εἶεν, ἄξιοι γίγνοιντο· εἰ δ' αἰσχροί, παιδεία τὼ δυσείδειαν ἐπικαλύπτοιεν. καλέσας δὴ δεῖπνον πλουσίους, καὶ τῆς Ξανθίππης αἰδουμένης, ἔφη, Θάρρει. εἰ μὲν γὰρ εἶεν μέτριοι, συμπεριενεχθεῖν ἂν ᾗ δ' ἂν φαῦλοι, ἡμῖν αὐτοῖς οὐδὲν μελήσει. ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν, ἵν' ἐσθίωσιν· αὐτὸν δ' ἐσθίειν, ἵνα ζῴη. πρὸς τὸν δὴ ἀξιόλογον πλοῦτον ἔφασκεν, ὅμοιον εἴ τις πεντάδραχμον ἐν ἀποδοκιμάζων, τὸν δὲ τῶν τοιούτων σωρὸν ὡς δόκιμον ἀποδέχοιτο. Αἰσχίνου δ' εἰπόντος, Πένης εἰμί, καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν· Ἆρ' οὖν (εἶπεν) οὐκ ἀνταίνῃ τὰ μέγιστά μοι δίδοντι; πρὸς τὸν ἀποδυσπετοῦντα ὅτι τῷ παροφᾶσθαι, ὁπότε ἐπαινέσειαν οἱ πολῖται, Ἆρα, ἔφη, μή τι σοι μεταμέλει; πρὸς τὸν εἰπόντα, Θάνατον σοι κατέγνωσαν Ἀθηναῖοι, Κἀκεῖνον (φησὶν) ἡ φύσις. οἱ δὲ τὸν Ἀναξαγόραν φασί. γυναικὸς εἰπούσης, Ἀδίκως ἀποθνήσκεις, Σὺ δ', (ἔφη) δικαίως ἐβούλου; ὅναρ δόξας ποτὲ αὐτῷ λέγειν,

Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο,

πρὸς Αἰσχίνην ἔφη, Εἰς τρίτην ἀποθανοῦμαι. μέλλοντί τε αὐτῷ τὸ κώνειον πιεῖν, Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλὸν, ἵν' ἐκείνῳ ἐναποθάνῃ. καὶ ὃς, Τί δ' (ἔφη) τὸ ἐμὸν ἱμάτιον ἐμβιῶναι μὴ ἄξιόν μου, ἐναποθανεῖν δ' οὐχί; πρὸς τὸν εἰπόντα, Κακῶς ὁ δεῖνά σε λέγει· Καλῶς γὰρ (ἔφη) λέγειν οὐκ ἔμαθε. Στρέψαντος Ἀνταθένους τὸ διερρωγὸς τοῦ τρίβωνος εἰς τοὔμφανές, Ὁρᾷς (ἔφη) διὰ τοῦ τρίβωνος τὴν κενοδοξίαν. πρὸς τὸν εἰπόντα, Οὐ βλοιδορεῖται ὁ δεῖνα; Οὐχί· (ἔφη) ἐμοὶ γὰρ οὐ πρόσεστι ταῦτα. ἔλεγε δὲ τοῖς κωμικοῖς δεῖν ἐπιτηδὲς ἑαυτὸν διδόναι. εἰ μὲν γὰρ τι τῶν προσόντων λέξειαν, διορθώσονται· εἰ δὲ οὔ; οὐδὲν πρὸς ἡμᾶς. πρὸς Ξανθίππην, πότερον μὴ λοιδο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ροδσαι, ὕστερον ὃ ἐκ πειχέασαν αὐτῷ, Οὐκ ἔλεγον (εἶπεν) ὅτι Ξανθίππη βροντῶσα, καὶ ὕδωρ πιήσει. πρὸς Ἀλκιβιάδην εἰπόντα, ὡς ὀκνεῖ αἰεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, Ἀλλ' ἔχω γ' (ἔφη) συνήθημα, καθάπερ καὶ ἐν λέας ἀκούων συνεχές. καὶ σὺ μόνη, εἶπε, χλωὸν βοώντων ἀνέχῃ. τί ὃ εἰπόντος, Ἀλλά μοι ὠὰ καὶ νεοσσοὺς πίλλοισι, Καίτοι (φησὶ) Ξανθίππη παιδία γλυκά. ποτὲ αὐτῆς ἐν ἀγορᾷ καὶ φοιμάτων πρεσβυτέρων, συνεβούλευον οἱ γνώριμοι χρῆσιν ἀμυάδαν, Νὴ Δί' (εἶπεν) ἵν' ἡμῶν πυκτευόντων, ἕκαστος ὑμῶν λέγοι, δῦ Σώκρατες, δῦ Ξανθίππη. ἔλεγε συνεῖναι πρᾳγία γυναικὶ, καθάπερ οἱ ἱππικοὶ θυμοειδέσιν ἵπποις. Ἀλλ' ὡς ἐκεῖνοι (φησὶ) ῥύπων κρατήσαντες, ῥᾳδίως τὰλλα πειρῶνται, οὕτω κἀγὼ Ξανθίππης χαλεπότητος, τοῖς ἄλλοις ἀνθρώποις συμπεριενεχθήσομαι. Ταῦτα δὴ καὶ τοιαῦτα λέγων καὶ πράττων, πρὸς τὴν Πυθίας ἐμαρτυρήθη, Χαιρεφῶντι αἰτήσαντι ἐκεῖνο δὴ τὸ πρόσφορον,

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος.

ἀφ' οὗ δὴ καὶ ἐφθονήθη μάλιστα, καὶ δὴ καὶ ὅτι διήλεγχε τοὺς μεγαλοφρονοῦντας ἐφ' ἑαυτοῖς, ὡς ἀνοήτους, καθάπερ ἀμέλει καὶ τὸν Ἄνυτον· ὡς καὶ ἐν τῷ Πλάτωνος ὁ Μένων. ἐπεὶ γοῦν φέρων τὸν ὑπὸ Σωκράτους χλευασμὸν, πρῶτον μὲν ἐπήλειψεν αὐτῷ τοῖς περὶ Λεισθένην, ἔπειτα καὶ Μέλητον συνέπεισεν ἀπενεγκαμένους κατ' αὐτοῦ γραφὴν ἀσεβείας καὶ τῶν νέων διαφθορᾶς. ἀπηνέγκατο μὲν οὖν τὴν γραφὴν ὁ Μέλητος, εἶπε δὲ τὴν δίκην Πολύδικος, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. συνέγραψε δὲ τὸν λόγον Πολυκράτης ὁ σοφιστὴς, ὥς φησιν Ἕρμιππος, ἢ Ἄνυτος, ὥς τινες. πεφυγάδευται δὲ καὶ τὰ Λύκων ὁ δημαγωγός. Ἀντισθένης δ' ἐν ταῖς τῶν φιλοσόφων διαδοχαῖς, καὶ Πλάτων ἐν Ἀπολογίᾳ, βεῖς αὐτὸν κατηγορῆ-

σαι φασὶ, Ἄνυτον καὶ Λύκωνα καὶ Μέλητον. τὸν μὲν Ἄνυτον, τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν ἀρχιτέκτονα· τὸν δὲ Λύκωνα, τῶν ῥητόρων· καὶ τὸν Μέλητον, τῶν ποιητῶν· οἷς ἅπασιν ὁ Σωκράτης διέσυρε. Φαβωρῖνος δέ φησιν ἐν ᾧ πρώτῳ τῶν ἀπομνημονευμάτων, μὴ εἶναι δηλῶν τὸν λόγον τὸν Πολυκράτους καθ' Σωκράτους· ἐν αὐτῷ γὰρ (φησὶ) μνημονεύεσθαι τὸν ὑπὸ Κόνωνος πεισθέντων, ἃ γέγραπται ἐν ἐπεσιν ὑπὲρ τῆς Σωκράτους τελευτῆς ὕστερον. καὶ ἔστιν οὕτως ἔχον. ἡ δὲ αὐτομολία τῆς δίκης τοῦτον εἶχε τὸν τρόπον. ἀνάκειται γὰρ ἔπη καὶ νῦν (φησὶ Φαβωρῖνος ἐν τῷ Μητρῴῳ) Τάδε ἐγράψατο καὶ ἀντωμολόγησατο, Μέλητος Μελήτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν, Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. τίμημα θάνατος. ὁ δὲ αὖ φιλόσοφος, Λυσίου γράψαντος ἀπολογίαν αὐτῷ, ἀναγνούς, ἔφη, Καλὸς μὲν ὁ λόγος, ὦ Λυσία, ἐμοὶ μὲν ἁρμόττων. δηλαδὴ γὰρ ὧν τὸ πλέον δικανικός, ἢ ἐμφιλόσοφος. εἶπέ τις δὲ τῷ Λυσίᾳ, Πῶς, εἰ καλός ἐστιν ὁ λόγος, οὐκ ἂν σοὶ ἁρμόττοι; ἔφη, Οὐ γὰρ ἂν ἱμάτια καλὰ καὶ ὑποδήματα εἴη ἂν ἐμοὶ ἁρμόζοντα; κριτομένου δ' αὐτοῦ, φησὶν Ἰοῦστος ὁ Τιβεριεὺς ἐν τῷ στόματι, Πλάτωνα ἀναβλῶσαι ὑπὸ τὸ βῆμα, καὶ εἰπεῖν, Νεώτατος ὢν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ὑπὸ τὸ βῆμα ἀναβαίνων. τοὺς δικαστὰς ἐνθορύβησαι, Καταβαίνων, τουτέστι Κατάβηθι. ὅτ' οὖν κατεδικάσθη, διακοσίαις ὀγδοήκοντα μίᾳ πλείοσι ψήφοις τῶν ἀπολυουσῶν, καὶ ὠμολόγουν τῶν δικαστῶν τὴν μὲν παθεῖν αὐτὸν ἢ ἀποτίσαι, πεντε καὶ εἴκοσιν ἔφη δραχμὰς ἀποτίσειν. Εὐβουλίδης μὲν γάρ φησιν ἑκατὸν ὁμολογῆσαι θορυβησάντων τῶν δικαστῶν, Ἕνεκα μὲν (ἔφη) τῶν ἐμοὶ διαπεπραγμένων ἄμεμπτα πρὸς δίκην τῆς ἐν πρυτανείῳ σιτήσεως. καὶ οἱ θάνατον αὐτῷ καταγνόντες,

ωες δέπας ἄλλας ψήφους ὀγδοήκοντα. ἢ δεθείς, μετ' οὐ πολλὰς ἡμέρας ἐπὶ τὸ κρύειον, πολλὰ καλὰ καὶ ἀγαθὰ διαλεχθείς, ἃ Πλάτων ἐν τῷ Φαίδωνι φησίν. εἰρὰ δὲ παραῦτα καὶ ἅπτας ἐπέπεμπεν· ὅ ἡ ἀρχή, Δήλιε Ἄπολλον χαῖρε, ἢ Ἄρτεμι, παῖδε κλειτώ. Διονυσόδωρος δέ φησι μὴ εἶναι αὐτὰ τὰ παραῦτα. ἐπίνει δὲ καὶ μῶλυ Αἰσώπειον, οὐ παύ ὑπτευμένως, οὗ ἡ ἀρχή,

Αἴσωπος πτ' ἔλεξε Κορίνθιον ἄσυ τέμοισι,
Μὴ κρίνειν ἀρετὴν λαοδίκῳ Σοφίῃ.

ὁ μὲν οὖν ἐξ ἀνδρῶν ἐν Ἀθηναίοις ἦν ὁ δὲ μετέγνωσαν, ὥστε κλεῖσαι καὶ παλαίστρας καὶ γυμνάσια. καὶ τοὺς μὲν ἐφυγάδευσαν, Μελίτου δὲ θάνατον κατέγνωσαν. Σωκράτη δὲ χαλκῆς εἰκόνος ἐπιμήσαντο, ἣν ἔθεσαν ἐν τῷ Πομπείῳ, Λυσίππου ταύτην ἐργασαμένου. Ἄνυτόν τε ὀπτὸν μήσαντα αὐθημερὸν ἐξεκήρυξαν Ἡρακλεώται. οὐ μόνον δὲ ὅτι Σωκράτους Ἀθηναῖοι πεπόνθασι τοῦτο, ἀλλὰ καὶ ὅτι πλείσιν ἔσαν. καὶ γὰρ Ὅμηρον (καθά φησιν Ἡρακλείδης) πεντήκοντα δραχμαῖς, ὡς μαινόμενον, ἐτίμησε· καὶ Τυρταῖον ἀβδακοπεῖν ἔλεγον. καὶ Λυσιμάχαν τὸν τὸν Λίσμυλον, ἐτίμησαν εἰκόνι χαλκῇ· Εὐριπίδης δὲ καὶ ὀνειδίζει αὐτοῖς ἐν τῷ Παλαμήδει, λέγων, Ἐκαίετ' ἐκαίετε τὰν παίσοφον τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα μουσᾶν. καὶ τάδε μὲν ὧδε. Φιλόχορος δέ φησι τὸν μὲν Εὐριπίδην τὸν Σωκράτους. ἐγεννήθη δ' (καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς) ὅτε Ἀψηφίωνος, ἐπὶ τῷ πέμπτῳ ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῃ, ὅτε καθαίρουσι τὸ λιμὸν Ἀθηναῖοι, καὶ τὸν Ἄρτεμιν γεγένθαι Δήλιοι φασίν. ἐτελεύτησε δὲ τῷ μὲν πέμπτῳ ἔτει τῆς ἑνενηκοστῆς πέμπτης Ὀλυμπιάδος, γεγονὼς ἐτῶν ἑβδομήκοντα. καὶ ταῦτά φησι καὶ Δημήτριος ὁ Φαληρεύς. ἔνιοι δὲ ξήκοντα ἐτῶν τελευτῆσαι αὐτὸν φασίν. ἀμφότεροι δὲ ἤκουσαν Ἀναξαγόρου,

καὶ

καὶ Εὐριπίδης, ὃς καὶ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς πέμπτης Ὀλυμπιάδος ἐγνωρίσθη ὅτε Καλλιάδου. δοκεῖ δέ μοι καὶ πρὸς τῶν φυσικῶν ὁ Σωκράτης διειλέχθαι, ὅπου γε καὶ πρὸς θεωρίας τινὰ διαλέγεται· καθάφησι καὶ Ξενοφῶν, καίτι πρὸς μόνων τῶν ἡδικῶν πιείσθαι τοὺς λόγους αὐτὸν εἰπών. ἀλλὰ καὶ Πλάτων ἐν τῇ ἀπολογίᾳ μνησθεὶς Ἀναξαγόρου καὶ ἄλλων φυσικῶν ἃ Σωκράτης ἀρνεῖται, πρὸς τούτων αὐτὸς λέγει, καίτοι ἀναπτὰς παίτα Σωκράτει. φησὶ δ' Αἰσχύλης μάγον τινὰ ἐλθόντα ἐκ Συρίας εἰς Ἀθήνας, τά τε ἄλλα καὶ γοητεύειν τὸν Σωκράτους, καὶ δὴ καὶ βίαιον ἔσεσθαι τὸν πλούτιον αὐτῷ. ἔστι δὲ καὶ ἡμῶν εἰς αὐτὸν οὕτω,

Πίνε νῦν ἐν Διὸς ὤν, ὦ Σώκρατες. ἦ σε γὰρ ὄντως
Καὶ σοφὸν εἶπε θεὸς, καὶ θεὸν ἡ σοφίη.
Πρὸς γὰρ Ἀθηναίων κώνειον ἁπλῶς μὲν ἐδέξω,
Αὐτὸς δ' ἐξέπιον τοῦτο πρῶς σόματι.

Τούτων δὲ, καθάφησιν Αἰσχύλης ἐν τρίτῳ περὶ ποιητικῆς, ἐφιλονείκει Ἀντίλοχος Λήμνιος, καὶ Ἀντιφῶν ὁ τεραστιοσκόπος, ὡς Πυθαγόρᾳ Κύδων καὶ Ὀνάτας· καὶ Σάγαρις Ὁμήρῳ ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ Κολοφώνιος· καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, τελευτήσαντι δὲ ὁ περιρημβίος Ξενοφάνης· καὶ Πινδάρῳ Ἀμφιμβίης ὁ Κῷος· Θάλητι δὲ Φερεκύδης, καὶ Βίαντι Σάλαρος Πελιωδές· Πιττακῷ Ἀντιμβίδας καὶ Ἀλκαῖος, Ἀναξαγόρᾳ Σωσίβιος, καὶ Σιμωνίδῃ Τιμοκρέων. τῶν δὲ διαδεξαμβίων αὐτὸν, τῶν λεγομβίων Σωκρατικῶν, οἱ κορυφαιότατοι μὲν Πλάτων, Ξενοφῶν, Ἀντισθένης· τῶν δὲ φερομβίων δέκα οἱ διασημότατοι τέσσαρες, Αἰσχίνης, Φαίδων, Εὐκλείδης, Ἀρίστιππος. λεκτέον δὲ πρῶτον περὶ Ξενοφῶντος, εἶτα περὶ Ἀντισθένους ἐν τοῖς κυνικοῖς, ἔπειτα περὶ τῶν Σωκρατικῶν, εἶθ' οὕτω περὶ Πλάτωνος· ἐπεὶ κατάρχειν τῶν δέκα αἱρέσεων, καὶ τοῦ πρώτου Ἀκαδημίαν αὐτὸς συνεστή-

σατο. ἡ μὲν οὖν ἀκολουθία τοῦτον ἐχέτω τὸν τρόπον.
γέγονε δὲ Σωκράτης καὶ ἕτερος, ἰσοεικὼς, ὠνομάζετο Ἄρχης γεγραφώς· καὶ ἄλλος, περιπατητικὸς, Βιθυνός· καὶ ἕτερος, ἐπιγραμμάτων ποιητής· καὶ ὁ Κῷος, ἐπικλύσεις θεῶν γεγραφώς.

ΞΕΝΟΦΩΝ.

ΞΕνοφῶν, Γρύλλου μὲν ἦν υἱὸς, Ἀθηναῖος, τῶν δήμων Ἀγχισέως· αἰδήμων δὲ καὶ ἀνεπίσατος εἰς ὑπερβολήν. τοῦτον οἱ στρατηγοῦντα φασὶν ἀπαντήσαντα Σωκράτην, διαπῖναι τὴν βακτηρίαν καὶ κωλύειν παρέναι, πυθανόμενον πῖ πωρεύοιτο τῶν παρεπορευομένων ἕκαστον· ἐπεὶ κριναμένου δὲ, πάλιν πυθέσθαι, Ποῦ δὲ καλοὶ κἀγαθοὶ γίνονται τὴν πόλιν; ἀπορήσαντος δὲ, Ἕπου τοίνυν, (φάναι,) καὶ μάθανε. καὶ τοιοῦτον ἀκροατὴς Σωκράτους γέγονε. καὶ πρῶτος ὑπομνηματισάμενος τὰ λεγόμενα, εἰς ἀνθρώπους ἤγαγε, ὑπομνημονεύματα ὀνομάσας. ἀλλὰ καὶ ἱστορίαν φιλοσόφων πρῶτος ἔγραψε. καί φησιν Ἀρίστιππος ἐν πεμπτῳ περὶ παλαιᾶς τρυφῆς, ἐρασθῆναι Κλεινίου τοῦ Ἀλκιβιάδου καὶ τοῦτο εἰπεῖν, Νῶν δὲ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεάσομαι ἢ τἄλλα πάντα ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων πάντων δεξαίμην ἂν ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι. ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τῷ μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσι. Κύρῳ δὲ φίλος ἐγένετο τῶν τὸν Ἕλληνα τὸν αὐτῷ συνήθης Πρόξενος ὄνομα, Βοιώτιος, μαθητὴς μὲν Γοργίου τοῦ Λεοντίνου, φίλος δὲ Κύρῳ. οὗτος ἐν Σάρδεσι διατρίβων πρὸς τῷ Κύρῳ, ἔπεμψεν εἰς Ἀθήνας ἐπιστολὴν Ξενοφῶντι, καλῶν αὐτὸν ἵνα γένηται Κύρῳ φίλος. ὁ δὲ τὴν ἐπιστολὴν δείκνυσι Σωκράτει, καὶ σύμβουλον ἤρετο· καὶ ὃς ἀπέστειλεν αὐτὸν εἰς Δελφοὺς χρησόμενον τῷ θεῷ. πιθέσθαι Ξενοφῶντα ἦκεν πρὸς τὸν θεόν.

πωθάνεται οὐχὶ εἰ χρὴ ἀπέναι πρὸς Κῦρον, ἀλλ' ὅπως ἐφ' ᾧ καὶ Σωκράτης αὐτὸν ἠπάτησεν, σωφρονεῖν δὲ ἀξελθεῖν. καὶ ὡς ἥκοντα πρὸς Κύρῳ, καὶ τὸ Προξένου φίλος οὐχ ἥκιστα ἐδόκει αὐτῷ. τὰ μὲν οὖν ἄλλα τὰ κατὰ τὴν ἀνάβασιν γεγενημένα καὶ τὴν κάθοδον ἱκανῶς αὐτὸς ἡμῖν διηγεῖται. ἐκθρεψε δὲ διέκειτο πρὸς Μένωνα τὸν Φαρσάλιον πρὸς τὸν χρόνον τῆς ἀναβάσεως τὸν ξεναγόν· ὅτε καὶ λοιδορῶν αὐτὸν φησὶν αὐτῷ μείζοσι κεχρῆσθαι παιδικοῖς· ἀλλὰ καὶ Ἀπολλωνίδῃ τινὶ ὀνειδίζει πεπρῆσθαι τὰ ὦτα. μετὰ δὲ τὴν τε ἀνάβασιν καὶ τὰς ἐν τῷ Πόντῳ συμφορὰς, καὶ τὰς πρεσβείας τὰς Σεύθου τοῦ τῶν Ὀδρυσῶν βασιλέως, ἦκεν εἰς Ἀσίαν πρὸς Ἀγησίλαον τὸν Λακεδαιμονίων βασιλέα, μισθοῦ τοῦ Κύρου γραπτὸς αὐτῷ πρόξενος· φίλος τε ἦν εἰς ὑπερβολήν. παρ' ὃν καιρὸν ὑπὸ Λακωνισμοῦ φυγὴν ὑπ' Ἀθηναίων κατεγνώσθη. ξενώμενος δ' ἐν Ἐφέσῳ, καὶ χρυσὸν ἔχων, τὸ μὲν ἥμισυ Μεγαβύζῳ δίδωσι τῷ τῆς Ἀρτέμιδος ἱερεῖ φυλάττειν, ἕως αὖ ἐπανέλθῃ· εἰ δὲ μή, ἄγαλμα ποιησάμενον, ἀναθεῖναι τῇ θεῷ. τὸ δὲ ἥμισυ ἔπεμψεν εἰς Δελφοὺς ἀναθήματα. ἐντεῦθεν ἦλθεν μετὰ Ἀγησιλάου εἰς τὴν Ἑλλάδα, κατηντηκὼς εἰς τὸν πρὸς Θηβαίους πόλεμον· καὶ αὐτῷ πρόξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι. ἐντεῦθεν ἐάσας τὸν Ἀγησίλαον, ἦκεν εἰς Σκιλλοῦντα, χωρίον τῆς Ἠλείας, ὀλίγον τῆς πόλεως ἀπέχον. ᾤκητο δὲ αὐτῷ καὶ γυναῖον ὄνομα Φιλησία, καθά φησι Δημήτριος ὁ Μάγνης· καὶ δύο υἱεῖς, Γρύλλος καὶ Διόδωρος, ὡς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα ὑποσασίου· οἱ καὶ Διόσκουροι ἐπικαλοῦνται. ἀφικομένου δὲ τὸ Μεγαβύζου κατὰ πρόφασιν τῆς πανηγύρεως, κομισάμενος τὰ χρήματα, χωρίον ἐωρίατο, καὶ καθιέρωσε τῇ θεῷ· δι' οὗ ποταμὸς ῥέει Σελινοῦς, ὁμώνυμος τῷ ἐν Ἐφέσῳ· ἐνταῦθα διετέλει κυνηγετῶν, καὶ τοῖς φίλοις ἑστιῶν, καὶ

ταὶ ἱστορίας συγγράψαι. φησὶ δ' ὁ Δείναρχος ὅτι καὶ οἰκίαν καὶ ἀργύριον αὐτῷ ἔδοσαν Λακεδαιμόνιοι. ἀλλὰ καὶ Φιλοκράτην τὸν Σταγιρίτην φασὶν αὐτῷ πέμψαι αὐτὸν διαιτητὴν, περὶ ὧν ἀγωνιάλωτα ἐκ Δαρδανίου καὶ τὸν δῆμον αὐτὰ ὡς ἐβούλετο. Ἡλείοις τε στρατευσαμένοις εἰς τὸν Σαρωνικὸν κόλπον, καὶ βεβλωκόσιν Λακεδαιμονίων, ὠφελεῖν τὸ χωρίον. ὅτι καὶ ζημίας αὐτὸν εἰς Λέσβιον ὑπεξελθεῖν μετ' ὀλίγον οἰκήσαντα· καὶ αὖθις ἐπανελθόντα εἰς τὸν Ἥλιον πρόσπορον, εἶτα καὶ εἰς Λέσβον πρὸς τοὺς παῖδας κομισθῆναι σὺν αὐτοῖς εἰς Πόντον δι' ἀσθένειαν, καὶ αὐτὸν καταλῦσαι. ἐν τούτῳ δ' ψηφισαμένων Ἀθηναίων βοηθεῖν Λακεδαιμονίοις, ἔπεμψε τοὺς παῖδας εἰς τὰς Ἀθήνας στρατευσομένους ὑπὸ τὴν Λακεδαιμονίων. καὶ δὲ ἐπαιδεύετο αὐτοῦ ἐν τῇ Σπάρτῃ, καθά φησι Διοκλῆς ἐν τοῖς Βίοις τῶν φιλοσόφων. ὁμοῦ οὖν Διόδωρος ὁ δὲ ὀπτὰς ἐκ τῆς μάχης ἀνασῴζεται, καὶ αὐτῷ υἱὸς ὁμώνυμος γίνεται Ἐπίκουρος. ὁ δὲ Γρύλλος πεμφθεὶς ὑπὸ τοῦ ἱππέως, (οὗτος δὲ ἦν μάχῃ τῇ περὶ Μαντίνειαν) ἱππικῶς ἀγωνισάμενος ἐπεδείξατο, ὡς φησιν Ἔφορος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ· Κηφισοδώρου μὲν ἱππαγρέτου, Ἡγησιλέω δὲ στρατηγοῦντος. ἐν ταύτῃ τῇ μάχῃ καὶ Ἐπαμεινώνδας ἔπεσε. τινὲς δὲ καὶ τὸν Ξενοφῶντα φασὶ τὸ εἶναι ἐστεμμένον ἀπαγγελθέντος δ' αὐτῷ τοῦ παιδός, ἀποστεφανώσασθαι ἐπιθέμενον ὅτι γενναίως, πάλιν δὲ ἐπιθέσθαι τὸν στέφανον. ἔνιοι δὲ οὐδὲ δακρύσαι φασὶν αὐτόν. Ἀλλὰ γὰρ εἰπεῖν, ἃ δεῖ ἐστὶ πρὸς γεγραμμένα. φησὶ δὲ Λεωτροφίδης, ὅτι ἐγκώμια καὶ ὁπόσα φησὶν Γρύλλου μείζω ὄντα συγγράψαι τὸ μέρος, καὶ τῷ πατρὶ χαριζόμενον. ἀλλὰ καὶ Ἕρμιππος ἐν τῷ περὶ Θεοφράστου, καὶ Σωσιφάνη φησὶ Γρύλλου ἐγκώμιον γεγραφέναι. Τίμων δ' ὁποιόν τινα αὐτὸν ἐν τοῖς,

Ἀθηναῖόν τε λόγων δυσὶ ἢ τρισὶ, ἢ ἔπι πόρσω,

Οἷος Ξενοφόων, ἢτ' Ἀθήνησι γράψαι.

καὶ ὁ μὲν βίος αὐτῷ τοιόσδε. ἤκμαζε δὲ κατὰ τὸ τέταρτον ἔτος τῆς πεμπτης καὶ ὀγδοηκοστῆς Ὀλυμπιάδος. καὶ ἀπαβιβάσαντος Κύρου ἄρχοντος Ξεναινέτου, ἐνὶ πρεσβυτέρῳ ἔτει τῆς Σωκράτους τελευτῆς. κατέστρεψε δὲ (καθά φησι Σπουσικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν ἀρχόντων καὶ Ὀλυμπονικῶν ἀναγραφῇ) ἐπὶ πρώτου τῆς πεμπτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ὅτε ἄρχοντος Καλλιδημίδου, ἐφ' οὗ δὴ Φίλιππος ὁ Ἀμύντου Μακεδόνων ἦρξε. πέπτωκε δὲ ἐν Κορίνθῳ (ὡς φησι Δημήτριος ὁ Μάγνης) ὕδρᾳ δηλαδὴ γηραιὸς ἱκανῶς· αἴτιον δέ τε ἄλλα γενόμενα ἀγαθὸς, καὶ δὴ καὶ φίλιππος καὶ φιλοκαίσαρος καὶ τάκτικὸς, ὡς ἐν τοῖς συγγραμμάτων δῆλον· ἀσεβής τε καὶ φιλοθύτης, καὶ ἱερεῖα δαψιλῶναι ἱκανὸς, καὶ Σωκράτει ζηλώσας ἀκριβῶς. συνέγραψε δὲ βιβλία πρὸς τὰ τεσσαράκοντα, ἄλλων δήπου δυσαριθμούντων· πλήν τε αἰάβασιν, ἧς κατ' βιβλίον μὲν ἐπέθηκε προοίμιον, ὅλης δ', οὐ· καὶ Κύρου παιδείαν, καὶ Ἑλληνικὰ, καὶ ἀπομνημονεύματα· συμπόσιόν τε, καὶ οἰκονομικὸν, καὶ περὶ ἱππικῆς, καὶ κυνηγετικὸν, καὶ ἱππαρχικὸν, ἀπολογίαν τε Σωκράτους, καὶ πόρων, καὶ Ἱέρωνα ἢ τυραννικὸν, Ἀγησίλαόν τε, καὶ Ἀθηναίων καὶ Λακεδαιμονίων πολιτείαν, ἃ φησιν ὁ εἷς Ξενοφῶντος ὁ Μάγνης Δημήτριος. λέγεται δ' ὅτι καὶ τὰ Θουκυδίδου βιβλία λαθόντα ὑφελέσθαι δυνάμενος, αὐτὸς εἰς δίξαν ἤγαγεν. ἐκαλεῖτο δὲ καὶ Ἀττικὴ μοῦσα γλυκύτητος τῆς ἑρμηνείας. ὅθεν καὶ πρὸς ἀλλήλους ζηλοτύπως εἶχον αὐτός τε καὶ Πλάτων, ὡς ἐν τοῖς περὶ Πλάτωνος λέξομεν. ἔστι δὲ καὶ εἰς αὐτὸν ἡμῖν ἐπιγράμματα τοιαῦτα τὸν τρόπον,

Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον,
Ἀλλ' ἀνόδου ζητῶν ἐς Διὸς ἦλθε ἄγαν.
Παιδείης δ' εἷς Ἑλληνικὰ πρήγματα δείξας,

Ὡς καλὸν ἡ Σοφὶη μνήσατ' Σωκράτος.

Ἄλλο, ὡς ἐπελεύθα.

Εἰ καί σε Ξενοφῶν Κεφαλοῦ Κέκροπές τε πολῖται
Φεύγειν κατέγνων, τὸ φίλυ χάριν Κύρου·
Ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ἢ σὺ φιλήδων
Οὕτως ἀρέσκῃ, κεἶθι καὶ μένειν ἔχοις.

Φέρον δ' ἄλλα χθὶ ἀκμάσαι αὐτὴν περὶ τὴν ἐκάτλω καὶ ὀγδοηκοστὴν Ὀλυμπάδα ζῶ τοῖς ἄλλοις Σωκρατικοῖς. καὶ Ἴερος φησὶν αὐτὸν φυγεῖν κατ' ψήφισμα Εὐβούλου, καὶ καταγνῶναι κατ' ψήφισμα τὸ αὐτό. γεγόασι δ' Ξενοφῶντος ἐπιά. πρῶτος, αὐτὸς ὁ διάλογος, Ἀθηναῖος, ἀδελφὸς Πυθοκράτους, τὸ τὴν Θεσπιάδα πεποιηκότος, γεγραφὼς ἄλλά τε καὶ βίον Ἐπαμινώνδου καὶ Πελοπίδου· τέτταρες, ἰατρὸς Κῷος· τέταρτος, ἱστορίαν Ἀννιβαϊκὴν γεγραφώς· πέμπτος, ὠνὴρ ὁ τὴν περὶ τέχνας πραγματευόμενος· ἕκτος, Πάριος, ἀγαλματοποιός· ἕβδομος, κωμῳδίας ἀρχαίας ποιητής.

ΑΙΣΧΙΝΗΣ.

Αἰσχίνης, Χαρίνου τοῦ ἀλλαντοποιοῦ· οἱ δέ, Λυσανίου Ἀθηναῖος· ἐκ νέου φιλόπονος. διὸ καὶ Σωκράτης ὑπ' ἀπόρου διὸ καὶ ἔλεγε, Μόνος ἡμᾶς οἶδε ζημιῶν ὁ δημαγωγὸς. τοῦτον ἔφη Ἰδομενεὺς ἐν τῷ δεσμωτηρίῳ συμβουλεῦσαι περὶ τῆς φυγῆς Σωκράτει, καὶ οὐ Κρίτωνα. Πλάτων δ', ὅτι ἰδίῳ Ἀριστίππῳ μᾶλλον φίλος, Κρίτωνι προσῆκεν τοὺς λόγους. διεδήλετο δ' ὁ Αἰσχίνης καὶ μάλιστα ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως, ὡς τοὺς πλείστους διαλόγους, ὅσους Σωκράτης, ὑποβάλλοιτο, λαμβάνων παρὰ Ξανθίππης· ὧν οἱ μὲν καλούμενοι Ἀκέφαλοι, σφόδρ' εἰσὶν ἀπελεγμένοι, καὶ ὑπ' ὀψὲ φαίνοντες τὴν Σωκρατικὴν ἀτονίαν, οἷς καὶ Πεισίστρατος ὁ Ἐφέσιος ἔλεγε μὴ εἶναι Αἰσχίνου. καὶ τῶν ἐπιὰ δὲ τοὺς πλείστους Περσαῖος φησὶ

Παισφῶντος εἰς τὸ Ἐρετρικόν, εἰς τοὺς Αἰσχίνου δὲ καταπάξαι. διὰ καὶ τὸν Ἀντιφένους τὸν τε μικρὸν Κῦρον, καὶ τὴν Ἡρακλέα τὸν ἐλάττω, καὶ Ἀλκιβιάδην, καὶ τοὺς τῶν δήμων δὲ ἐσκυθώρηται. οἱ δ' οὖν τοῦ Αἰσχίνου τὸ Σωκρατικὸν ἦθος ἀπομιμούμενοι, εἰσὶν ἑπτά· πρῶτος, Μιλτιάδης (διὸ καὶ ἀθυρέστερόν πως ἔχει) Καλλίας, Ἀξίοχος, Ἀσπασία, Ἀλκιβιάδης, Τιμανδρίς, Ῥῖνων. φασὶ δ' αὐτὸν δι' ἀπορίαν ἐλθεῖν εἰς Σικελίαν πρὸς Διονύσιον, καὶ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δὲ Αἰσχίνου συσσωθῆναι. δόντα τε πίστεις τῶν δραμάτων, δῶρα λαβεῖν. ἔπειτ' ἀφικόμενον Ἀθήναζε, μὴ θελῆσαι σοφιστεύειν, ἀδοκιμούντων τότε τῶν περὶ Πλάτωνα καὶ Αἰσχίνην· ἐμμίσθους δὲ ἀκροάσεις πιεῖσθαι, εἶτα συγγράψαι λόγους δικανικοὺς τοῖς ἀδικουμένοις. διὸ καὶ τὸν Τίμωνα εἰπεῖν ἐπ' αὐτῷ, ὅτ' Αἰσχίνου ἐκ ὀπτιθῆς, Γράψαι. φασὶ δ' αὐτὸν λέγειν Σωκράτη, ἐπειδὴ πρὸ ὀπτέζετο τοὺς πενίας, παρ' ἑαυτῷ δανείζεσθαι τῶν στίων ὑφαιρούμενα. τοῦτον τοὺς δραμάτους καὶ Αἰσχίνης ὑποκρίθηναι. ἐν γοῦν Μεδείοις ἀναγινώσκοντος αὐτοῦ φασὶ σκῶψαι, εἰπόντα, Πόθεν σοι, λῆρε, ταῦτα; φησὶ δὲ Πολύκριτος ὁ Μενδαῖος ἐν τῷ περὶ τοῦ Διονύσιον, ἄρχειν τῆς ἐκπώσεως συμβιῶναι αὐτὸν τῷ τυράννῳ, καὶ ἕως τῆς Δίωνος εἰς Συρακούσας καθόδου· λέγουσι δέ τινες αὐτὸν Καφίνιον τὸν κωμῳδοποιόν. φέρεται δ' καὶ ὀπτολὴ πρὸς Διονύσιον Αἰσχίνου. ἦν δὲ καὶ ἐν τοῖς ῥητορικοῖς ἱκανῶς γεγυμνασμένος, ὡς δῆλον ἔκ τε τῆς ἀπολογίας τοῦ πατρὸς Φαίακος πρὸς Στρατοκλέα, καὶ δι' ὧν μάλιστα μιμεῖται Γοργίαν τὸν Λεοντῖνον. καὶ Λυσίας δὲ κατ' αὐτοῦ συγγέγραφε λόγον, περὶ συκοφαντίας ἐπιγράψας. ἐξ ὧν δῆλον ὅτι καὶ ῥητορικός τις ἦν. γνώριμος δ' αὐτῷ φέρεται εἷς, Αἰσχύλος ὁ Μύθος ὀνομασθείς. πάντων μὲν οὖν τῶν

Σωκρατικῶν δ' ἁλόντων Παναίτιος φησὶν εἶναι δοκεῖ τοὺς Πλάτωνος, Ξενοφῶντος, Αἰσχίνου. διαλέγει δὲ περὶ τῶν Φαίδωνος καὶ Εὐκλείδου. τοὺς δ' ἄλλους αἱρεῖ πάντας. γεγόνασι δ' Αἰσχίναι ἕκτω. πρῶτος, αὐτὸς ἐξ Ἀθηναίων ὤν, ὁ τὰς πέντε γεγραφὼς τὰς ῥητορικάς. τέταρτος, ὁ ῥήτωρ ὁ ἐκ Νεαπόλεως· τέταρτος, Ἀρχιᾶς, μαθητὴς Ἰσοκράτους· πέμπτος, ὁ Μιτυληναῖος, ὃν καὶ ῥητορομάστιγα ἐκάλουν· ἕκτος, Νεαπολίτης, φιλόσοφος Ἀκαδημαϊκός, Μελανθίου τοῦ Ῥοδίου μαθητὴς καὶ παιδικά· ἔδοξεν, Μιλήσιος, πολιτικὸς συγγραφεύς· ὄγδοος, Αἰσχίνης ὁ Σφήττιος.

ΑΡΙΣΤΙΠΠΟΣ.

ΑΡίστιππος τὸ μὲν γένος ἦν Κυρηναῖος, ἀφορμώμενος δ' ἀπὸ Ἀθηναίων, καθά φησιν Αἰσχίνης, τῶν κλεινὸς Σωκράτης. ἐπεὶ δ' ἐπύθετο (ὡς φησι Φανίας ὁ περιπατητικὸς ὁ Ἐρέσιος) περὶ τῶν Σωκρατικῶν μυθολογεῖσθαι, καὶ ἀπέφηνε γράμματα οὐ διδασκάλου. καί ποτε πέμψας αὐτῷ μυᾶς ἔπεσι, παλινδρόμους ἔλαβεν· εἰπόντος Σωκράτους τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν ἐδιδάσκετο ὑπὸ τούτου. Ξενοφῶντι δ' εἶχε περὶ αὐτὸν διαφοράν· διὸ καὶ τὸν περὶ τῆς ἡδονῆς λόγον Σωκράτει καὶ Ἀντισθένει προσῆψεν. οὐ μόνον δὲ καὶ Θεόδωρος ἐν τῷ περὶ αἱρέσεων, ἐκάλεσεν αὐτόν, καὶ Πλάτων ἐν τῷ περὶ ψυχῆς, ὡς ἐν ἄλλοις εἰρήκαμεν. οὗτος δ' ἱκανὸς ἁρμόσασθαι καὶ πίνειν καὶ χέζειν καὶ πεσσεύειν, καὶ πᾶσαν πρᾶξιν ἁρμονίας ὑποκρίνασθαι. διὸ καὶ Διονυσίῳ τῷ ἄλλῳ ἀνδρὶ μᾶλλον, ἀεὶ τοῦ πότου ἐν διαπλεύσεως. ἀπόλαυσιν γὰρ ἡδονῆς τῆς παρόντος, ἐν ἐλπίδι δὲ πόνου τὴν ἀπόλαυσιν τῆς παρόντος· ὅθεν καὶ Διονύσιος βασιλικὸν αὐτὸν ἔλεγεν. ὁ δὲ Τίμων παρέφαγεν, ὡς δρυπτόμενον, οὕτως φησὶ πως εἰπών,

Οἷά τ' Ἀρισίππου τυφερὴ φύσις ἀμφαφόωντος
Ψθύδη.

τῶτον φασί ποτε κελεῦσαι πέρδικα πεντήκοντα δραχμῶν ἐωνῆσθαι ἀπασαμένου δέ τινος, Σὺ δ' ἂν αὖ (εἶπεν) ὀβολοῦ τῶτον ἐωρίω; ὑπομείναντος δὲ, Τοσοῦτον (ἔφη) ἐμοὶ ἐδώκαντο αἱ πεντήκοντα δραχμαί. Διονυσίου δέ ποτε, πολλῶν ἑταίρων ὄντων, μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν, εἰπών, Οὐ γὰρ Πάριδι συνήνεγκε μίαν τῶν κρῖναι. ἀπαγαγόντι μύρου (φασὶν) αὐτὰς ἄγει τὸ δυρῶνος, ἀπέλυσεν. οὕτως ἐῶ καὶ ἐλέσθαι καὶ καταφρονῆσαι πολύ. διό ποτε Σπεύσιππον, οἱ δὲ Πλάτωνα τῶν αὐτὸν εἰπεῖν, Σοὶ μόνῳ δέδοται καὶ χλαμύδα φορεῖν καὶ ῥάκος. Διονυσίου δὲ τῶν περιπύσαντος αὐτῷ ἐῶ ἔχειν. μειρακίου δέ τινος, εἶτα, Οἱ μὲν ἁλιεῖς (εἶπεν) ὑπὸ μύροισι ῥαίνειν τὴν θάλατταν, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ αἰάζωμαι κράμμασι ῥαίνων, ἵνα βλέννον λάβω; παιδίσκης ποτὲ αὐτὸν λάγανα πλυούσης Διογένης ἔσκωψε· καὶ φήσαντος, Εἰ οὖν ἔμαθες περιφέρεσθαι, ὦν αὐ τυρόγνων αὐλὰς ἐθεράπευες. ὁ δὲ, Καὶ σὺ (εἶπεν) ἔωρᾳ ἥδιστ' ἀνθρώπους ὁμιλεῖν, ὦν αὐ λάγανα ἔπλυνες. ἐρωτηθείς πῶ αὐξάνεται τὸ εὐγένειαν ἐκ φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν. ὀνειδιζόμενός ποτ' ὅτι πολυτελῶς ζῇ, Εἰ τοῦτ' (ἔφη) φαῦλόν ἐστιν, ὦν αὐ ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο. ἐρωτηθείς ποτε τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη, Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν. ἐρωτηθείς ὑπὸ Διονυσίου διὰ τί οἱ μὲν φιλόσοφοι ὄντες τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι οὐ τὰς τῶν φιλοσόφων, ἔφη, Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν. ἐρωτηθείς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, Ὡς ὥρᾳ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων. εἰσιών ποτε εἰς ἑταίρας οἰκίαν, καὶ τῶν συνὼν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, ὅτι εἰς-

ελθεῖν (ἔφη) χαλεπὸν, ἀλλὰ τὸ μὴ δυνάσθαι ἐξελθεῖν. αἴνιγμα πινὸς αὐτὸν ποτε πείραιτο καὶ εἰπόντος, Λῦσον, Τί, ὦ μάταιε (ἔφη) λῦσαι θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει; ἄμεινον ἔφη ἐπαίτιον ἢ ἀπαίδευτον εἶναι. οἱ μὲν γὰρ χρημάτων· οἱ δὲ ἀνθρωποειδοῦς δέονται. λοιδορουμένου ποτε αὐτὸν ἀνεχώρει· τοῦ δὲ διωκόντος εἰπόντος, Τί φεύγεις; Οὔπω (φησὶ) τοῦτο μὲν κακῶς λέγει, σὺ δὲ αὐτὸ ἐξουσίαν ἔχεις· τοῦτο δὲ μὴ ἀκούειν, ἐμόν. εἰπόντος τινὸς ὡς ἀεὶ τοῖς φιλοσόφοις βλέπει τοὺς τῶν πλουσίων θύρας, Καὶ γὰρ καὶ οἱ ἰατροὶ (φησὶ) τοὺς τῶν νοσούντων· ἀλλ' οὐ δι' ἣν τινὰ τις ἔλαιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν. εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε καὶ χαλεπαινόντων σωθῆναι ἐπιχειρούντων. πρὸς οὖν τὸν εἰπόντα, Ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε; Οὐ γὰρ περὶ ὁμοίας (ἔφη) ψυχῆς ἀγωνιῶμεν ἕκαστοι. σεμνυνομένου τινὸς ὅτι πολυμαθής, ἔφη, Ὡς φορτίον οὐχ οἱ τὰ πλεῖστα ἐδίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ ἀλλ' οἱ χρήσιμα εἰδότες μανθάνουσιν, εἰσὶ σοφοί. πρὸς τὸν ὑπὲρ αὐτοῦ λογοποιόν δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτὸν, τί σε ὤνησε Σωκράτης; ἔφη, Τοῦτο, τοὺς λόγους, οὓς εἶπας ὑπὲρ ἐμοῦ, ἀληθεῖς εἶναι. τὰ δῆσα ὑποπέπτωκε τῇ θυγατρὶ Ἀρήτῃ, σωφρονοῦντι αὐτὴν ὑποφιλεῖν τῶν πλείστων ἐστί. ἐρωτηθεὶς ὑπό τινος τί αὐτῷ ὁ υἱὸς ἀμείνων ἴσαν παιδευθείς, Καὶ εἰ μηδὲν ἄλλο, (εἶπεν) ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδεῖται λίθος ὑπὸ λίθῳ. σωισάντος τινὸς αὐτῷ υἱὸν, ἥτις πεντακοσίας δραχμάς. Τοῦ δὲ εἰπόντος, Τοσούτου δυνάμεναι ἀνδράποδον ὠνήσασθαι, Πεινῶ, (ἔφη) καὶ ἄρτους δύο. ἀρχύριον εἶπε τοῦ τὰ τῶν χρεωφείλων λαμβάνειν, οὐχ ἵνα αὐτὸς χρῆται, ἀλλ' ἵνα ὀφείλοντες εἰδεῖεν εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις. ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων, ἐμισθώσατο ῥήτορα, Καὶ

γὸ (ἔφη) ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι. ἀναγ-
καζόμενός ποτε ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσο-
φίας, Γελοῖον (ἔφη) εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυθάνῃ· τὸ
δὲ, πότε δεῖ λέγειν, σύ με διδάσκεις. ὅτι τοίνυν δὴ ἀγα-
νακτήσαντα τὸν Διονύσιον, ἔφασαν αὐτὸν καταπλῆναι· καὶ
τὸν, Ἐνδεξότερον (φαίην) τὸν τόπον ἢ θέλησας πιῆσαι.
αὐχοῦντός τινος ὅτι τῶν κολυμβᾶν, Οὐκ αἰσχύνῃ (εἶπεν)
ὅτι δελφῖνος ἔργοις ἀλαζονεύσθμος; ἐρωτηθείς ποτε
τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη, Εἰς ἀγῶνας τοῖς
δύο γυμνοῖς ἀποστεῖλον, καὶ εἴσῃ. αὐχοῦντός τινος ὅτι
τῶν πολλὰ πίνειν, καὶ μὴ μεθύσκεσθαι, Τοῦτο καὶ ἡμίο-
νος, φησί. πρὸς τὸν αἰπώλιον ὅτι ἑταίρᾳ συνοικεῖ,
Ἄρα γε (εἶπεν) μή τι διενέγκαι οἰκίαν λαβεῖν ἐν ᾗ πολ-
λοί ποτε ᾤκησαν, ἢ μηδείς; εἰπόντος δὲ, οὔ· Τί δὲ, πλεύ-
σαι ἐν νηΐ, ᾗ μυρίοι ποτὲ ἐνέπλευσαν, ἢ μηδὲ εἷς; Οὐδα-
μῶς. Οὐκοῦν ἄρα γυναικὶ (ἔφη) συνεῖναι ᾗ πολλοὶ κέ-
χρηνται, ἢ μηδείς. πρὸς τὸν αἰπώλιον ὅτι Σωκράτους
μαθητὴς ὢν ἀργύριον λαμβάνει, Καὶ μάλα· (εἶπε)
καὶ γὰρ Σωκράτη, πεμπόντων αὐτῷ πυρῶν καὶ σῖτον καὶ οἶ-
νον, ὀλίγα λαμβάνοντα, τὰ λοιπὰ ἀποπέμπειν. εἶχε γὰρ
ταμίας τοὺς πρὸς Ἀθηναίων· ἐγὼ δὲ Εὐτυχίδῃ
ἀργυρώνητον. ἐχρῆτο καὶ Λαΐδι τῇ ἑταίρᾳ, καθά φη-
σι καὶ Σωτίων ἐν δευτέρᾳ τῶν διαδοχῶν. πρὸς οὓς τοὺς
μεμφομένους ἔφη, Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι. ἐπὶ
τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν, ἄριστον, οὐ τὸ μὴ χρῆ-
σθαι. πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πλουτελῆ ὀψωνίαν, ἔφη,
Σὺ δ' ὅτι αἰσχύνῃ ταῦτ' ἐπιτρίψας ὁμολογήσαντος ἢ, Οὐκ
ἐπ' εἴνυν (ἔφη) φιλήδονος ἐγώ, ἀλλὰ σὺ φιλάργυρος. Σίμων
ποτὲ τῶν Διονυσίου ταμίας πλουτελὴς οἴκους αὐτῷ καὶ λιθοστρώ-
τους δείκνυσι, (ἵν' ἦ Φρυξ καὶ ὅλεθρος) ἀναχρεμνάμβους, πρὸς ἐπῦσε τῇ ὄψει. τῶν δ' ἀναναχτήσαντος, Οὐκ
εἶχον (εἶπε) τόπον ὅπου ἀποθήσομαι. πρὸς Χαρώνδαν

εἰπόντα, (οἱ δ', πρὸς Φαίδωνα) Τίς ὁ μεμυελισμένος; Ἐγὼ (φησὶν) ὁ κακοδαίμων, καὶ σοῦ κακοδαιμονέστερος ὁ Περσῶν βασιλεύς. ἀλλ' ὅσα μὴ ὡς οὐδὲν τῶν ἄλλων ζώων ταῦτά πω τὰ ἐλατίους, οὕτως οὐδὲ αὐ ἀνθρώπους. καὶ οἱ κακῶς δὲ ἀπολιπόντες οἰκίαν οἰκέται, οἵπερ καλὸν ἡμῖν ἄλειμμα δι' ἁλὸς βάλλουσιν. οἰκειδιζόμενός ποτ' ὑπὸ τοῦ πλουτέλως ζῆν ὑπὸ Πλάτωνος, ἔφη, Ἆρα φαίνεταί σοι Διονύσιος ἀγαθός; τὸν δὲ ὁμολογήσαντος, Καὶ μήν (ἔφη) ζῆ ἐμοῦ πλουτελέστερον. ὥστ' οὐδὲν κωλύει καὶ πλουτέλως τὸν κακὸν ζῆν. ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης, ἔφη, Ὡς αὐτὸς ἐγὼ ἁρπάζομαι. Πολυξένου ποτὲ τὸν σοφιστὴν εἰσελθόντος πρὸς αὐτὸν, τὴν θεραπαινίδων γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰπαπαινόμενον, μικρὸν διαλιπών, Δυώδεκα (ἔφη) καὶ σὺ μὲν ἡμῖν σήμερον ἡδύνασθαι; τὸν δ' ὑπολαβόντος, Τί σοῦν (ἔφη) ἐμέμφου; ἔοικας γὰρ ἢ τὴν ὀψωνίαν ἀλλὰ τὸ ἀνάλωμα αἰνεῖσθαι. τὸν θεράποντα ἐν οἷς βασάζοντα ἀργύριον, καὶ βαρυνόμενον, (ὡς φασιν οἱ περὶ τὸν Βίωνα ἐν ταῖς διατριβαῖς) Ἀπόχει (ἔφη) τὸ πλέον, καὶ ὅσον δυώδεκα βάσταζε. πλέων ποτὲ, ἐπὶ τὸ σκάφος ἔγνω πιεσθείς, λαβὼν τὸ χρυσίον ἐνέβαλε· ἔπειτα εἰς θάλατταν ὡς μὴ θέλων τοῦτο κατέβαλε, καὶ δῆθεν αὐτῷ μοχθηρόν. οἱ δὲ καὶ ἐπιπλῆξαι φασιν αὐτὸν, Ὡς ἄμεινον τοῦτο ὑπ' Ἀρισίππου ἢ διὰ τοῦτο Ἀρίστιππον ἀπολέσθαι. Διονυσίου ποτὲ ἐρομένου ὅτου τί ἦκοι, ἔφη ἐπὶ τῷ μεταδώσειν ὧν ἔχει, καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. ἔνιοι δ' οὕτως ἀποκρίνασθαι, Ὅπως μὲν σοφίας ἐδεόμην, ἦκον παρὰ τὸν Σωκράτην· νῦν δὲ χρημάτων δεόμενος παρὰ σὲ ἦκω. κατεγίνωσκε τῶν ἀνθρώπων, οἳ τὰ σκεύη μὲν ἐν ταῖς ἀγορασίαις σκοπεῖσθαι, τοὺς δὲ βίους εἰκῇ δοκιμάζοντας· οἵ δὲ, τοῦτο Διογένους φασί. καί ποτε παρά τινα κελεύσαντος Διονυσίου ἔκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, τὸν μὲν Πλάτωνα μὴ θέλησαι, εἰπόντα,

Οὐκ ἂν δυναίμην θέλων ἐνδῦναι τρίβωνα.

τὸν δ' Αἰσχίνην λαβόντα, καὶ μέλλοντα ὀρχήσασθαι, ἀνόσιόν φησιν εἶπεῖν,

--καὶ γὰρ ἐν βακχεύμασιν

Οὗτος ἔγε σώφρων ὁ διαφθαρήσεται.

διάλογος πρὸς τὸν φίλου Διονυσίου, καὶ μὴ ὀπτυχαίων, εἰς πόδας αὐτῷ ἔπεσε. πρὸς οὖν τὸν ὀπτικώφαντα, Οὐκ ἐγὼ (φησὶν) αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων: διατείβων ἐν Ἀσίᾳ, καὶ λιφθεὶς ὑπὸ Ἀρταφέρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα, Καὶ ὧδε θαρρεῖς; Πότε γὰρ, (εἶπεν) ὦ μάταιε, θαρρήσαιμι ἂν μᾶλλον ἢ νῦν, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξεσθαι; τοὺς τῆς ἐγκυκλίου παιδείας μεταλαχόντας, φιλοσοφίας δ' ἀπολειφθέντας, ὁμοίους ἔλεγεν εἶναι τοῖς τοῦ Πηνελόπης μνηστῆρσι. καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν καὶ Πολυδώρα καὶ ταῖς ἄλλαις θεραπαίναις ἔχειν, πάσας δ' μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν δυνάσθαι γῆμαι. τὸ δ' ὅμοιον καὶ Αἰσχίνου· τὸν γὰρ Ὀδυσσέα, καταβαίνοντα εἰς ἅδου, τοῖς μὲν νεκροῖς πάντας ἀχθομένους καὶ σκυθρωπιῶντας, τὴν δὲ Βασίλειαν αὐτὴν μὴ πεθεῖσθαι. ὁ δ' οὖν Αἰσχίνης ἐρωτηθείς πόσα ἐστὶν ἃ δεῖ τοὺς καλοὺς παῖδας μανθάνειν, ἔφη, Οἷς ἄνδρες ἡδόμενοι χρήσονται. πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ, ὡς ἀπὸ Σωκράτους πρὸς Διονύσιον ἔλθοι, ἀλλὰ πρὸς Σωκράτην (ἔφην) ἦλθον, παιδείας δεόμενος· πρὸς δὲ Διονύσιον, παιδιᾶς. ἐξ ὁμιλίας αὐτῷ χρηματισαμένῳ φησὶ Σωκράτης, Πόθεν σοι τοσαῦτα; καὶ ὃς, Ὅθεν σοι τὰ ὀλίγα. ἐταίρας εἰπούσης πρὸς αὐτὸν, Ἐκ σοῦ κύω, Οὐ μᾶλλον (ἔφη) γινώσκεις, ἢ εἰ δι' ὁλοχρίνων ἴσασι ἔφασκες ὑπὸ τῆδε κεκεντῆσθαι. ἡπάσατό τις αὐτοῦ τὸν υἱὸν ἀποῤῥιπτοῦντα, ὡς ῥᾳδίως ἐξ αὐτοῦ γεγονότα· καὶ ὃς, Καὶ τὸ φλέγμα (φησὶ) καὶ τοὺς φθεῖρας ἐξ ἡμῶν ἴσμεν γινωμένους, ἀλλ' ἀχρεῖα ὄντα ὡς πορρωτάτω ῥίπτομεν. ὁ δὲ ξάνθος τὴ

ἀρχεῖον περὶ Διονυσίου, Πλάτωνος ἄρξαντος βιβλίον, περὶ τὸν ἀπασάωμον, Ἐγὼ μὲν γὰρ (εἶπεν) ἀρχείων, Πλάτων δὲ βιβλίων ὄζιν ἐνδεής. περὶ τὴν εἰπόντα τίνος ἕνεκα ἐλέγχεται περὶ Διονυσίου, Οὗ ἕνεκα (φησὶν) οἱ ἄλλοι ἐλέγχουσιν. ἤτει Διονύσιον ἀργύριον· ὁ δὲ, Ἀλλὰ μὲν ἔφης ἐκ ἀπορήσειν τὸν τρόπον. ὁ δὲ ὑπολαβών, Δὸς, (εἶπε) καὶ περὶ τούτου ζητῶμεν. δόντος δὲ, Ὁρᾷς (ἔφη) ὅτι οὐκ ἠπόρηκα; εἰπόντος περὶ αὐτὸν Διονυσίου,

Οὗς τις γὰρ ὡς τύραννον ἐμπρήσεται,
Κεῖνος εἰ δοῦλος; κἂν ἐλεύθερος μολῇ·

ὑπολαβών, Οὐκ ἔστι δοῦλος, οὐκ ἐλεύθερος μολῇ.

πέντε Διοκλῆς φησὶν ἐν τῷ περὶ βίων φιλοσόφων. ἄλλοι γὰρ εἰς Πλάτωνα ἀναφέρουσιν. ἐρωτηθεὶς περὶ Αἰσχίνου, μετ' ὀλίγον, Οὐ διαλλαχθησόμεθα; οὐ παυσόμεθα (εἶπε) λοιδοροῦντες; ἀλλὰ αἰσχυνεῖς ἕως ἄν τις ἡμᾶς ὅτι τῆς κύλικος φλυαρῶν διαλλάξῃ; καὶ ὅς, Ἀσμένως, ἔφη· Μνημόνευε οἶνον (εἶπεν ὁ Αἰσχίνης) ὅτι οἱ πρέσβεις πρεσβύτερος ὢν προσῆλθον. καὶ ὁ Λίχινης, Εὖγε, νὴ τὴν Ἥραν, ἀλόγως εἶπας· ἐπὶ πολλῷ μου βελτίων ὑπῆρχεις. ἐγὼ μὲν γὰρ ἔχθρας, σὺ δὲ φιλίας ἦρξας. καὶ ταῦτα μὲν εἰς αὐτὸν ἀναφέρεται. γέγραπται δὲ Αἰσχίνου τέσσαρες· περὶ οὗ πρόλογος· καὶ δεύτερος, ὁ περὶ Ἀρκαδίας γεγραφώς· τρίτος, ὁ μηδὲν διδάσκων, θυγατριδοῦς τοῦ πρώτου· τέταρτος, ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας. τοῦ δὲ Κυρηναϊκοῦ φιλοσόφου φέρεται βιβλία, τρία μὲν ἠθικὰ πρὸς Λιβύλλαν, ἀπεσταλμένα Διονυσίῳ· ἐν ᾧ, ἐν ᾧ διάλογοι πέντε καὶ εἴκοσιν, οἱ μὲν Ἀττικοὶ, οἱ δὲ Δωρικοὶ διαλέκτῳ γεγραμμένοι, οἵδε, Ἀρτάβαζος, Πρὸς τοὺς γαναγοὺς, Πρὸς τοὺς φυγάδας, Πρὸς πλοῦτον, Πρὸς Δαΐδα, Πρὸς Πῶρον, Πρὸς Δαΐδα περὶ τοῦ καταπόρου, Ἑρμείας, Εὐθύφρων, Πρὸς τὸν ὅπλα τῆς κύλικος, Φιλόμηλος, Πρὸς τοὺς οἰκείους, Πρὸς τοὺς ὅπλα-

μφῶντας ὅπ κέκπηται οἶνον παλαιὸν καὶ ἑταίρας, Πρὸς τοὺς ὀπτημφῶντας ὅπ πολυτελῶς ὀψωνεῖ, Ἐπιστολὴ πρὸς Ἀρήτην τὴν θυγατέρα, Πρὸς τὸν εἰς Ὀλυμπίαν γυμνάζοντα ἑαυτόν. Ἐρώτησις, Ἄλλη ἐρώτησις· Χρεία πρὸς Διονύσιον, Ἄλλη ὅτι τῆς εἰκόνος, Ἄλλη ὅτι τῆς Διονυσίου θυγατρός· Πρὸς τὸν οἰόμενον ἀπαίζεσθαι, Πρὸς τὸν συμβουλεύειν ὀπχρῶντα. ἔνιοι δὲ καὶ διατριβῶν αὐτὸν φασὶν ἐξενεχθέναι. οἱ δ' οὐδ' ὅλως γράψαι· ὧν ἐστι καὶ Σωσικράτης ὁ Ῥόδιος. ἐν δὲ Σωτίωνι ἐν δευτέρῳ, καὶ Παναίτιον, ἔστιν αὐτῷ συγγράμματα τάδε· Περὶ παιδείας, Περὶ ἀρετῆς, Προτρεπτικός, Ἀρτάβαζος, Ναυαγοί, Φυγάδες, Διατριβῶν ἐξ, Χρειῶν τρία, Πρὸς Λαΐδα, Πρὸς Πῶρον, Πρὸς Σωκράτην, Περὶ τύχης. τέλος δ' ἀπέφηνε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδοὺς ὧν.

Ἡμεῖς δ' ἐπειδὴ τὸν βίον αἱρησόμεθα αὐτοῦ, φέρε καὶ τῶν διαλεγομένων τοῖς ἀπ' αὐτοῦ Κυρηναϊκοὺς, οἵτινες ἑαυτοῖς, οἱ μὲν Ἡγησιακοὺς, οἱ δὲ Ἀννικερείους, οἱ δὲ Θεοδωρείους προσαγορεύομεν. οὐ μόνον δὲ ἀλλὰ καὶ τοὺς ἀπὸ Φαίδωνος, ὧν τοὺς κορυφαιοτάτους Ἐρετριακοὺς ἔχειν οὕτως· Ἀρίστιππου μὲν ἤκουσεν ἡ θυγάτηρ Ἀρήτη, καὶ Αἰθίωψ Πτολεμαεύς, καὶ Ἀντίπατρος Κυρηναῖος· Ἀρήτης δὲ Ἀρίστιππος ὁ μητροδίδακτος ὀπκληθείς, οὗ Θεόδωρος ὁ ἄθεος, εἶτα θεός· Ἀντιπάτρου δ' Ἐπιτιμίδης Κυρηναῖος, οὗ Παραιβάτης, οὗ Ἡγησίας ὁ Πεισιθάνατος, καὶ Ἀννίκερις, ὁ Πλάτωνα λυτρωσάμενος. οἱ μὲν οὖν ὅτι τῆς ἀγωγῆς τῆς Ἀριστίππου μείναντες, καὶ Κυρηναϊκοὶ προσαγορευθέντες, δόξαις ἐχρῶντο τοιαύταις· δύο πάθη ὑφίστασθαι, πόνον καὶ ἡδονήν· τὴν μὲν, λείαν κίνησιν, τὴν ἡδονήν· τὴν δὲ πόνον, τραχεῖαν κίνησιν. μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἴδιόν τι εἶναι· καὶ τὴν μὲν, ἀδοκιμητὸν πᾶσι ζώοις· τὸν δ', ἀποκρουστικόν. ἡδονὴν μέντοι τὴν ἐν σώματος, ἣν καὶ τέλος εἶναι, (καθά φησι καὶ Παναίτιος

ὧν ὧ τὸν τῆς αἱρέσεων οὐ τὴν καταστηματικὴν ἡδονὴν, ἢ ἐπ' ἀναιρέσει ἀλγηδόνων, καὶ ὀχλησίαν, ὡ ὁ Ἐπίκουρος ἀποδέχεται, τέλος εἶναι φασί. δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας διαφέρειν. τέλος μὲν γὰρ εἶναι τὴν κατ' μέρος ἡδονὴν εὐδαιμονίαν δ', τὸ ἐκ τῶν μεμικτῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχημέναι καὶ αἱ μέλουσαι. εἶναι τε τὴν μεμικτὴν ἡδονὴν, δι' αὐτὴν αἱρετήν· τὴν δ' εὐδαιμονίαν, οὐ δι' αὐτὴν, ἀλλὰ διὰ τὰς κατ' μέρος ἡδονάς. πίστιν δ' εἶναι τοῦ τέλος εἶναι τὴν ἡδονὴν, τὸ ἀπροαιρέτως ἡμᾶς ἐκ παίδων ὠικειῶσθαι πρὸς αὐτὴν, καὶ τυγχάνοντας αὐτῆς, μηθὲν ὀπτάνεσθαι· μηδέν τε οὕτω φεύγειν, ὡς τὴν ἐναντίαν αὐτῇ ἀλγηδόνα. εἶναι δὲ τὴν ἡδονὴν ἀγαθὸν, κἂν ἀπὸ τῶν ἀμημιτάτων γένηται, κατά φησιν Ἱππόβοτος ἐν τῷ περὶ τῆς αἱρέσεως. ἀδύνατον γὰρ καὶ ἡ προαίρεσις ἄτοπος εἴη, ἀλλ' οὕτω ἡ ἡδονὴ δι' αὐτὴν αἱρετὴ καὶ ἀγαθόν· ἡ δὲ τοῦ ζῴου ὠθοῦσα ἀποστροφὴ (ὡς εἴρηται παρ' Ἐπικούρῳ) δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή· οὐδὲ ἡ ἀηδονία, φησὶν, ἀγαθόν. ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως. ἐπεὶ ἡ ἀπονία οἰονεὶ καθεύδοντός ἐστι κατάστασις. δοκεῖ δέ φασι καὶ τὴν ἡδονὴν ἕνας μὴ αἱρεῖσθαι κατ' ἰδιαστροφήν. οὐ πάσας μέντοι τὰς ψυχικὰς ἡδονὰς καὶ ἀλγηδόνας ὀπτὸν σωματικὰς ἡδονὰς καὶ ἀλγηδόσι γίνεσθαι. καὶ γὰρ ὀπτὸν ψυλῇ τῇ τῆς παιδείας ἀναμνήσει, ἥτορ τῇ ἐλπίδι, χαρὰν ἐγγίνεσθαι. ἀλλὰ μὴν οὐδὲ κατ' μνήμην τῶν ἀγαθῶν ἢ τοιαύτην δόξαν ἡδονὴν φασιν ἀποτελεῖσθαι· ὅπερ ἤρεσκεν Ἐπικούρῳ. ἀκολούθως γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνημα. λέγουσι δὲ μηδὲ κατ' ψυλὴν τὴν ὄρεξιν, ἢ τὴν ἀκολουθίαν, γίνεσθαι ἡδονάς. τῶν γοῦν μεμουσωμένων δρῆνους ἡδέως ἀκούομεν, τῶν δὲ κατ' ἀήθειαν, ἀηδῶς. μέσας τε καὶ πασάσης ὠνόμαζον ἀηδονίαν καὶ ἀπονίαν. πλὴν μέντοι τῶν ψυχικῶν τὰς σωματικὰς ἀμείνους εἶναι, διὰ τὰς ὀχλήσεις χαίρουσι τὰς σωματικάς· ὅθεν καὶ τούτους κολάζεσθαι μᾶλλον

μᾶλλον τοὺς ἁμαρτάνοντας. χαλεπώτερον γὰρ τὸ πονεῖν, εἰκιότερον δὲ τὸ ἥδεσθαι ἐπελάμβανον. ἔνθεν καὶ πλείονα εὐνομίαν περὶ ἑαυτὸν ἐποιοῦντο. διὸ καὶ τῆς τοιαύτης αἱρετῆς οὔσης τῆς ἡδονῆς, τὰ ποιητικὰ ἐνίων ἡδονῶν ὀχληρὰ πολλάκις εἶναι ὑπέλαβον· ὡς δυσκολώτατον αὐτοῖς φαίνεσθαι τὸν ἀθροισμὸν τῶν ἡδονῶν, εὐδαιμονίαν μὴ ποιοῦντα. ἀρέσκει δ' αὐτοῖς, μήτε τὸν σοφὸν πάσας ἡδέως ζῆν, μήτε πάντα φαῦλον, ὁπωσοῦν· ἀλλὰ καὶ τὸ πλεῖστον. ἀρκεῖ δ' ἂν καὶ μίαν τις περιπίπτουσαν ἡδέως ἐπαναγάγῃ. τὴν φρόνησιν, ἀγαθὸν μὲν εἶναι λέγουσιν, οὐ δι' ἑαυτὴν δὲ αἱρετήν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς περιγινόμενα. τὸν φίλον, τῆς χρείας ἕνεκα. καὶ γὰρ μέρος σώματος μέχρις ἂν παρῇ, ἀσπάζεσθαι. τὴν ἀρετὴν οὐσίας καὶ περὶ τοὺς ἄφρονας σώζεσθαι. τὴν σωματικὴν ἄσκησιν συμβάλλεσθαι πρὸς ἀρετῆς ἀπάλειψιν. τὸν σοφὸν μήτε φθονήσειν, μήτε ἐλεήσειν ἢ δυσδαιμονήσειν. γίνεσθαι γὰρ ταῦτα παρὰ τὴν δόξαν. λυπήσεσθαι μέντοι καὶ φοβήσεσθαι· φυσικῶς γὰρ γίνεσθαι. καὶ τὸν πλοῦτον δὲ, ποιητικὸν ἡδονῆς εἶναι, οὐ δι' αὐτὸν αἱρετόν. τὰ τε πάθη, καθαίρετά· ἔλεγον οὖν αὐτὰ ὑπ' ἀφ' ὧν γίνεται. ἀφίστασθαι δὲ καὶ τῶν φυσικῶν, διὰ τὴν ἐμφαινομένην ἀκαταληψίαν· τῶν δὲ λογικῶν διὰ τὴν ἀχρησίαν, ἁπλῶς. Μελέαγρος δὲ ἐν τῷ δευτέρῳ περὶ δόξης, καὶ Κλειτόμαχος ἐν τῷ τρίτῳ περὶ τῶν αἱρέσεων, φασὶν αὐτοὺς ἄχρηστα ἡγεῖσθαι τό, τε φυσικὸν μέρος καὶ τὸ διαλεκτικόν. δύνασθαι γὰρ καὶ οὐ λέγειν καὶ διαιτᾶσθαι μονίας ἐκτὸς εἶναι, καὶ τὸν περὶ θανάτου φόβον ἐκφεύγειν, τὰ περὶ ἀγαθῶν καὶ κακῶν λόγον ἐκμεμαθηκότα. μηδένα τε εἶναι φύσει δίκαιον, ἢ καλὸν, ἢ αἰσχρὸν, ἀλλὰ νόμῳ καὶ ἔθει. ὁμοίως τε ἀσοφὸν καὶ σοφὸν οὐδὲν ἄτοπον παράξειν διὰ τὰ ὑπακειμένας ζημίας καὶ δόξας. εἶναι δὲ τὸν σοφὸν περιοπήν τε ἀπολείποντα, καὶ ἐν φιλοσοφίᾳ, καὶ ἐν τοῖς ἄλλοις. φασὶ δὲ καὶ λυπεῖσθαι ἄλλον ἄλλου μᾶλλον, καὶ τὰς αἰσθήσεις μὴ παύ-

πτε ἀληθεύειν. οἱ δ' Ἡγησιακοὶ λεγόμενοι σκοπὸς μὲν εἶναι τοὺς αὐτοὺς ἡδονὰς καὶ πόνον. μήτε δ' χάριν τινὰ εἶναι, μήτε φιλίαν, μήτε ἀντιχαρίσασθαι· διὰ τὸ μὴ δι' αὐτὰ ταῦτα αἱρεῖσθαι ἡμᾶς αὐτά, ἀλλὰ διὰ τὰς χρείας καὶ αὐτούς, ὧν δεόντων μηδὲ ἐκεῖνα ὑπάρχειν. πρὸς δὲ εὐδαιμονίαν, ὅλως ἀδιάφορον εἶναι· τὸ μὲν γὰρ σῶμα πολλὰ αἰσθήσεσθαι παθημάτων, πρὸς δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι καὶ ἐφάψεσθαι, πρὸς δὲ τύχην πολλὰ τῶν κατ' ἐλπίδα κωλύειν. ὥστε διὰ ταῦτα οὐ παρεῖναι πρὸς εὐδαιμονίαν εἶναι. πρὸς τε ζωὴν καὶ τὸν θάνατον αἱρετόν. φύσει τε οὐδὲν ἡδὺ ἢ ἀηδὲς ὑπολαμβάνειν· διὰ δ' αἰσθήσεως ἢ ξενισμὸν ἢ πόρον, τοὺς μὲν ἥδεσθαι, τοὺς δὲ ἀηδῶς ἔχειν. πενίαν καὶ πλοῦτον, ὡς ἡδονῆς λόγον, εἶναι οὐδέτερον· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. δουλείαν δ' οὐσίαν ἐλευθερίᾳ ἀδιάφορον εἶναι ὡς ἡδονῆς μέτρον, καὶ ἀνωφέλειαν δυσχρηστίᾳ, καὶ δόξαν ἀδοξίᾳ. καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν λυσιτελὲς εἶναι· τῷ δὲ φρονίμῳ, ἀδιάφορον. τὸν τε σοφὸν ἑαυτοῦ ἕνεκα πάντα πράξειν· οὐδένα γὰρ ἡγεῖσθαι τῶν ἄλλων ὑπὲρ αὑτοῦ ἄξιον αὐτῷ. καὶ γὰρ τὰ μέγιστα δοκοῦντα παρ' αὐτοῦ χαρίσασθαι, μὴ εἶναι ἀντάξια ὧν αὐτὸς παρέσχηται. αἱρήσεσθαι δὲ καὶ τὰς αἰσθήσεις οὐκ ἀκριβούσας τῶν ὑπαρχόντων, τῶν τ' ἄλογα φαινομένων πάντα πράξειν. ἔλεγον τὰ ἁμαρτήματα συγγνώμης τυγχάνειν· οὐ γὰρ ἑκόντα ἁμαρτάνειν, ἀλλὰ διὰ πάθος πεζόμενον. καὶ μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν. τὸν τε σοφὸν οὐχ οὕτω πλεονάσειν ἐν τῇ τῶν ἀγαθῶν αἱρέσει, ὡς ἐν τῇ τῶν κακῶν φυγῇ· τέλος δὲ εἶναι τὸ μὴ ὑπὸ πόνου ζῆν, μηδὲ λυπηρῶς. ὃ δὴ συμβαίνειν τοῖς ἀδιαφορήσασι τῶν ποιητικῶν τῆς ἡδονῆς. οἱ δ' Ἀντικύρειοι, τὸν μὲν φρόνιμον, κατὰ ταῦτα πράττειν· ἀπέχεσθαι δὲ καὶ φιλίας ἐν βίῳ καὶ χάριτος, καὶ πρὸς χρείας ἅμιλλαν, καὶ ὑπὲρ πατρίδος τι πράξειν. ὅσον δὲ ταῦτα, κἂν ὀχλήσεις αἱρεθείη ὁ σοφός, οὐδὲν ἧττον εὐδαιμονήσειν, κἂν ὀλίγα πο-

δέα ωφελήσηται αὐτῷ. τὸν τε φίλου εὐδαιμονίαν δι' αὐτὸν μὴ εἶναι αἱρετὸν· μηδὲ γὰρ αὐτὸν τῷ πέλας ὑπάρχειν. μὴ εἶναί τε αὐτάρκη τὸν λόγον πρὸς τὸ θαρρῆσαι, καὶ τῆς τῶν πολλῶν δόξης ὑπεραίρεσθαι· δεῖν δ' ἀνεθίζεσθαι, διὰ δὲ ἐκ πολλοῦ συμβαφεῖσαν ἡμῖν φαύλως διάθεσιν. τόν τε φίλον μὴ διὰ τὰς χρείας μόνον ἀποδέχεσθαι, ὧν ὑπολειπουσῶν μὴ ἐπιτρέφεσθαι· ἀλλὰ καὶ πρὸς τὴν γειτνιῶσαν εὔνοιαν, ἧς ἕνεκα καὶ πόνους ὑπομένειν, καίτοι πρὸς ἡδονὴν τέλος· καὶ ἀχθόμενον, ὅτι τῷ στέρεσθαι αὐτῆς, ὅμως ἐπισίως ὑπομένειν διὰ τὸν φίλον στοργήν. οἱ δὲ Θεοδώρειοι καλούμενοι τὴν μὲν ὁνομασίαν ἔσχασαν ἀπὸ Θεοδώρου τοῦ προγεγραμμένου, καὶ δόγμασιν ἐχρήσαντο τοῖς αὐτοῦ. λέγει δὲ ὁ Θεόδωρος παντάπασιν αἱρεῖν τὰς περὶ θεῶν δόξας· καὶ αὐτοῦ φέρεται σύγγραμμα βιβλίῳ ἐπιγεγραμμένῳ Περὶ θεῶν, οὐκ ἀκαταφρονήτῳ· ἐξ οὗ φασὶν Ἐπίκουρον τὰ πλεῖστα λαβόντα εἰπεῖν. ἦκουσε δὲ καὶ Ἀννικερίδος ὁ Θεόδωρος, καὶ Διονυσίου τοῦ διαλεκτικοῦ, καθά φησιν Ἀντισθένης ἐν φιλοσόφων διαδοχαῖς. τέλος δὲ ὑπελάμβανε χαρὰν καὶ λύπην· τὴν μὲν, ὅτι φρονήσει· τὴν δὲ, ὅτι ἀφροσύνῃ. ἀγαθὰ δὲ, φρόνησιν καὶ δικαιοσύνην· κακὰ δὲ, τὰς ἐναντίας ἕξεις· μέσα δὲ, ἡδονὴν καὶ πόνον. αἱρεῖ δὲ καὶ φιλίαν, διὰ τὸ μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι, μήτ' ἐν σοφοῖς. τοῖς μὲν γὰρ, τῆς χρείας αἱρετῆς οὔσης, καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι· τοῖς δὲ σοφοῖς, αὐτάρκεις ὑπαρχόντας, μὴ δεῖσθαι φίλων. ἔλεγε δὲ καὶ εὔλογον εἶναι, τὸν σπουδαῖον μὴ ἐξαναγκαῖν ὑπὲρ τῆς πατρίδος αὐτόν. οὐ γὰρ ἀποβάλλειν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας. εἶναί τε πατρίδα τὸν κόσμον. κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ. μηδὲν γὰρ εἶναι τούτων αἰσχρὸν φύσει, τῆς ἐπ' αὐτοῖς δόξης αἰρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν

ἀφρόνως σωφρονῆς. φανερῶς δὲ τοῖς ἐρωμένοις αἰεὶ πάσης ὑφηγήσεως χρήσεσθαι τὸν σοφόν. διὸ καὶ τοιούτους λόγους εἴρωτα, Ἆρά γε γυνὴ γραμματικὴ χρήσιμος αὐτῷ ἂν εἴη παρ' ὅσον γραμματική ἐστι; ναί. καὶ παῖς καὶ νεανίσκος χρήσιμος αὐτῷ ἂν εἴη παρ' ὅσον γραμματικός ἐστι; ναί. ἀλλὰ καὶ γυνὴ καλή, χρήσιμον αὐτῷ εἴη παρ' ὅσον καλή ἐστι. καὶ παῖς καὶ νεανίσκος καλός, χρήσιμος αὐτῷ ἂν εἴη παρ' ὅσον καλός ἐστι; ναί. καὶ παῖς ἆρα καὶ νεανίσκος καλός, ἆρ' ἐστὶ καὶ χρήσιμος ἆρ' ὁ καλός ἐστι; ναί. ἔστι δὲ χρήσιμος ἆρ' ὁ πλησιάζειν. ὧν διδυμῶν, ἔφη, Οὐκοῦν εἴ τις πλησασμῷ χρῷτο παρ' ὅσον χρήσιμός ἐστιν, οὐ διαμαρτήσεται. οὐκοῦν εἰ ἄρα καλλει χρήσαιτο, παρ' ὅσον χρήσιμόν ἐστι, διαμαρτήσεται. τοιαῦτα ἄττα διεραυθίζουσι τῷ λόγῳ. δοκεῖ δὲ θεὸς καθεῖλων, Σπλπωνος αὐτὸν ἐρωτήσαντος οὕτως, Λέγε μοι, Θεόδωρε, ὁ εἶ φὴς, τοῦτο καὶ εἶ; ὑπιθύσαντος δὲ, Φὴς δ' εἶναι θεός; τὸ δ' ὁμολογήσαντος, Θεὸς εἶναί ἄρα, ἔφη. δεξαμένου δὲ ἀσμένως, γελάσας φησὶν, Ἀλλ', ὦ μάχθηρε, τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογήσας εἶναι, καὶ ἄλλα μυρία. ὁ δ' οὖν Θεόδωρος θεοσκαθίσας πρὸ Εὐρυκλείδην τὸν ἱεροφάντην. Λέγε μοι (ἔφη) Εὐρυκλείδη, πίστις εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια; εἰπόντος δ' ἐκείνου, Οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες, Ἀσεβεῖς ἄρα (ἔφη) καὶ σύ, τοῖς ἀμυήτοις διηγούμενος. καὶ μὴν παρ' ὀλίγον ἐπανδρώθησαν εἰς Ἄρειον αἰαχθῆναι πάγον, εἰ μὴ Δημήτριος αὐτὸν ὁ Φαληρεὺς ἐρρύσατο. Ἀμφικράτης δὲ ἐν τῷ περὶ ἀνδρὸς ἀξίων αὐδρῶν, φησὶ κρίνειν αὐτὸν πεῖν κωνεῖον ἀδίκως θάνατον. διαφείβων δὲ τῷ Πτολεμαίῳ τῷ Λάγου, ἀπειλήσαντος αὐτῷ πρὸς Λυσίμαχον πρεσβευτὴς, ὅτι καὶ παῤῥησιαζομένῳ φησὶν ὁ Λυσίμαχος, Λέγε μοι, Θεόδωρε, ἐν τοῖς ἀκροατὴς Ἀθηναίοις; καὶ ὅς, Ὀρθῶς ἀκήκοας. ἡ γὰρ τῶν Ἀθηναίων πόλις οὐδαμοῦ με φέρειν, ὡς τὸν ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε. πάλιν δ' εἰπόντος τοῦ Λυσιμάχου, Βλέπε ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι, Οὐκ αὖ,

(ἔφη) αὖ μὴ Πτολεμαῖος ἀποστείλῃ. Μύθου δ' τὸ διοικητοῦ τοῦ Λισιμάχου παρεσώτος καὶ εἰπόντος, Ἔοικας σὺ μὴ μόνον θεοὺς ἀγνοεῖν ἀλλὰ καὶ βασιλέας, Πῶς (εἶπεν) ἀγνοῶ, ὅπου γε καί σε θεοῖς ἐχθρὸν ὄντα νομίζω; φασὶ δέ ποτε ἐν Κορίνθῳ παρέρχεσθαι αὐτὸν, συχνοὺς ἐπαγόμενον μαθητάς. Μηδοκλέα δ' τὸν χωικὸν σκώπτοντα εἰπεῖν, Σὺ ὁ σοφιστὴς οὐκ αὖ τοσούτων ἔχηζες μαθητῶν, εἰ λάχανα ἔπλωες. τὸν δ' ὑποβλέψαντα εἰπεῖν, Καὶ σὺ ἄρα ἀνθρώπους ἤδης ὁμιλεῖν, οὐκ αὖ λάχανα ἐχων. τὸ ὅμοιον ἀναφέρεται καθάπερ προείρηται) εἰς τὸν Διογένην καὶ Αἰσχίνην. τοιοῦτος μὲν ὁ Θεόδωρος καὶ τούτοις. τελευταῖον δ' εἰς Κυρήνην ἀπελθὼν, καὶ Μαρίῳ συμβιοὺς, ἐν πάσῃ ζωῇ διετέλει τυγχάνων. ἔνθεν τοι καὶ τὸν ἀκαλλόμορφον, λέγεται χαρίεν τι εἰπεῖν. ἔφη γὰρ, Κακῶς ποιεῖτε, ἄνδρες Κυρηναῖοι, οὐκ τῆς Λιβύης ἡμᾶς τῇ Ἑλλάδι μὴ ξυνείζοντες. Θεόδωροι δ' γεγόνασιν εἴκοσι πρεσβύτης, Σάμιος, υἱὸς Ῥοίκου. ὅτος ἐστιν ὁ συμβουλεύσας ἀνθρακας ὑποπιθῶναι τοῖς θεμελίοις τοῦ ἐν Ἐφέσῳ νεῴ. (καθύγρου γὰρ ὄντος τοῦ τόπου, τοὺς ἀνθρακας ἔφη τὸ ξυλῶδες ἐμβαλόντας, αὐτὸ τὸ στερεὸν ἁπαθὲς ἔχειν ὕδατι) δεύτερος, Κυρηναῖος, γεωμέτρης, οὗ διήκουσε Πλάτωνος· τρίτος, ὁ πρεγεγραμμένος φιλόσοφος· τέταρτος, οὗ τὸ φωνασκικὸν φέρεται βιβλίον πῶμαλον· πέμπτος, ὁ πρώτῳ νομοθετῶν πρεσβευτὴς, ἀρξάμενος ἀπὸ Τερπάνδρου· ἕκτος, Στωϊκὸς· ἕβδομος, ὁ τὰ πρῶτα Ῥωμαίων πρεσβεύσας· ὄγδοος, Συρακούσιος, πρῶτα κωμῳδῶν γεγραφώς· ἔνατος, Βυζάντιος, ἀπὸ λόγων πολιτικῶν· δέκατος, ὁμοίως, οὗ Αἰσχίνης μνημονεύει διὰ τῆς ὑποτομῆς τῶν ῥητόρων· ἑνδέκατος, Θηβαῖος, ἀνδριαντοποιός· δωδέκατος, ζωγράφος, οὗ μέμνηται Πολέμων· τρισκαιδέκατος, ζωγράφος, Ἀθηναῖος, ὑφ' οὗ γράφει Μνασέας· πασαρεσκαιδέκατος, Ἐφέσιος, ζωγράφος, οὗ μέμνηται Θεοφάνης,

ἐν τῷ ᾠδικῆς πεντεκαιδέκατος, ποιητὴς ὀπτογραμμάτων ἑκκαιδέκατος, γεγραφὼς ᾠδὴν πεντεκαιδέκατος, ἰατρὸς, Ἀθηναίου μαθητὴς ὀκτωκαιδέκατος, Χῖος, φιλόσοφος στωϊκὸς ἐνενηκοστὸς, Μιλήσιος, καὶ αὐτὸς στωϊκὸς φιλόσοφος ἑκατοστὸς, ποιητὴς τραγῳδίας.

ΦΑΙΔΩΝ.

ΦΑΙδων, Ἠλεῖος, τῶν ὑπερείδων, σωτέλω τῇ παιδί, καὶ ἰωαγκάθη σῆναι ἐπ' οἰκήματος, ἀλλὰ τὸ θύριον ᾠδεσπθεὶς μετῆγε Σωκράτης, ἕως αὐτὸν λυτρώσασθαι τοὺς ᾠδὲ Ἀλκιβιάδλω ἢ Κείτωνα ᾠδυτρεψὶ καὶ τωϊπόδλει ἐλθυθείως ἐφιλοσόφει. Ἱερώνυμος δ' ὁ τῷ ᾠδὶ ἐπιγρ καθαπόμβος, δοῦλον αὐτὸν εἶρηκε. δλαλόγους δ' συνέγραψε γ' νσίους μὲν, Ζώπυρον, Σίμωνα, καὶ δισταζόμενον Νικίαν· Μήδιον (ὃν φασί τινες Λιχήνου, οἱ δὲ Πολυαίνου) Ἀντίμαχον, ἢ ᾠδεσβύτας (καὶ ταῦτα δισάζεται) Σκυθικοὺς λόγους· καὶ τοὺπιγραφὴς Λιχήνου φασί. δλδοχος δ' αὐτῷ Πλείσταινος, Ἠλεῖος. καὶ πεῖται ἀπ' αὐτῷ οἱ ᾠδὶ Μενέδημον τὸν Ἐρετριέα καὶ Ἀσκληπιάδλω τὸν Φλιάσιον, μεταγοντες ἀπὸ Στίλπωνος. καὶ ἕως μὲν τούτων Ἠλειακοὶ ᾠδεσηγορεύοντο· ἀπὸ δὲ Μενεδήμου, Ἐρετριακοὶ, ᾠδὲ ἃ λεξόμεθ' ἐν ὑστέρῳ, δλὰ τὸ καὶ αὐτὰ καπάρχειν αἱρέσεως.

ΕΥΚΛΕΙΔΗΣ.

ΕΥκλείδης ἀπὸ Μεγάρων τῶν ᾠδεσθμῷ, ἢ Γελῶος κατ' ἄλλους, ὥς φησιν Ἀλέξανδρος ἐν δλδοχαῖς. ταῦτα καὶ τὰ Παρμενίδεια μετῆλειζετο, καὶ οἱ ἀπ' αὐτῷ Μεγαρικοὶ ᾠδεσηγορεύοντο, εἶτ' ἐριστικοὶ, ὕστερον δ' δλαλεκτικοὶ, οὓς οὕτως ὠνόμασε ᾠδῶτος Διονύσιος ὁ Καρχηδόνιος, δλὰ τὸ ᾠδὸς ἐρωτήσιν ἢ ἀπόκρισιν τοὺς λόγους δλαπ-

ηεθαι. φασὶ τοίνυν φησὶν ὁ Ἑρμόδωρος ἀφικέσθαι Πλάτωνα, καὶ τοὺς λοιποὺς φιλοσόφους, μετὰ τὴν Σωκράτους τελευτὴν, δείσαντας τὴν ὠμότητα τῶν τυράννων. ἔστι δὲ τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς ὀνόμασι καλούμενον. ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεὸν, καὶ ἄλλοτε νῶν, καὶ τὰ λοιπά. τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ αἱρεῖσθαι μὴ δεῖ φάσκων. τὴν τε ἀποδείξεσιν ἐνίστατο, ἀπὸ καθ' ὑπόθεσιν, ἀπὸ κατ' ὄπτοφεσίν. καὶ τὴν διὰ τριῶν τροπολῆς λόγον αἱρεῖ, λέγων ἢ ἐξ ὁμοίων αὐτὴ ἢ ἐξ ἀνομοίων συνίστασθαι. καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον, ἢ εἰς ὁμοιότητα ἀναφέρεσθαι· εἰ δ' ἐξ ἀνομοίων, παρέλκειν τὴν τροπήν. διὰ τοῦτο καὶ περὶ αὐτοῦ τοῦτό φησι Τίμων, τὸν τροπικὸν καὶ τοὺς λοιποὺς Σωκρατικούς,

Ἀλλ' οὔ μοι τούτων φλεδόνων μέλει, οὐδὲ τι κάλλει·
Οὐδενὸς, οὐ Φαίδωνος, ὅπως γέ μιν, οὐδὲ ἑταίρου
Εὐκλείδου, Μεγαρῆσιν ὃς ἔμβαλε λύσσαν ἐριστοῦ.

διαλόγους δὲ συνέγραψεν ἑξῆς, Λαμπρίαν, Αἰσχίνην, Φοίνικα, Κέρωνα, Ἀλκιβιάδην, Ἐρωτικόν. τῆς δὲ Εὐκλείδου διαδοχῆς ἦσαν καὶ Εὐβουλίδης ὁ Μιλήσιος, ὃς καὶ πολλοὺς ἐν διαλεκτικῇ λόγοις ἠρώτησε, τήν τε ψευδόμενον καὶ τὴν διαπαίνοντα, καὶ Ἠλέκτραν, τὸ ἐγκεκαλυμμένον, καὶ Σωρείτην, καὶ κερατίνην, καὶ φαλακρόν. περὶ οὗπερ φησὶ τῶν κωμικῶν,

Ὁ Εὐβουλίδης δὲ Εὐβουλίδης κερατίνας ἐρωτᾷ,
Καὶ ψευδεῖ ἀναζόσι λόγοις τὰς ῥήτορας κωλύων,
Ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥωδοστωμυλίαν.

ᾠκει γὰρ αὐτὸ καὶ Δημοσθένης ἀκηκοέναι, καὶ ῥωβικώτερος ὢν παύσασθαι. ὁ δὲ Εὐβουλίδης καὶ πρὸς Αἰσχίνην διεφέρετο, καὶ πολλὰ αὐτὸν διαβέβληκε. μεταξὺ δὲ μόνων ὄντων τὴν Εὐβουλίδου διαδοχῆς Ἀλεξῖνος ἐγένετο Ἠλεῖος ἀνὴρ φιλονεικότατος· διὸ καὶ Ἀλεξῖνος ἐπεκλήθη. διετέρπετο δὲ μάλιστα πρὸς Ζήνωνα. φησὶ δὲ Ἕρμιππος περὶ αὐτοῦ ὡς θέα ἀπελθὼν ἐκ τῆς Ἤλιδος εἰς Ὄλυμπιαν, αὐτόθι

φιλοσοφῆσαι. τῶν δὲ μαθητῶν αὐτοῦ τινὲς ἀπομιμούμενοι διὰ πᾶσαν ἡμέραν ἐπὶ τὴν δεῖπνον καὶ πιεῖν, φεύγειν βούλεσθαι αἵρεσιν συνίστασθαι ὑπὸ Ὀλυμπικοῦ καλουμένου. τοὺς δὲ, καὶ τοῖς ἐφεδρίοις θλιβομένους, καὶ τὸ χωρίον τοσοῦτον καταγόντας, ἀπελθεῖν, καὶ τὸ λοιπὸν διατρίβειν ἔρημον τὴν Ἀλεξῖνον σὺν οἰκέτῃ μόνῳ. ἔπειτα μὴ πιεχόμενον ὑπὸ τῶν Ἀλφειῶν νυχθῆναι καλάμῳ, καὶ οὕτω τελευτῆσαι. καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν οὕτως ἔχον,

Οὐκ ἄρα μῶδος ἦν ἐκεῖνος εἰκαῖος, (ρέπως
Ὡς ἀτυχής τις ἐὼν τὸν πόδα κολυμβῶν ἐλέπιν-
Ἥλω. καὶ γὰρ ὁ σεμνὸς αἰὴρ, πρὶν Ἀλφειὸν
Ποτ' ἐκπερᾶν, Ἀλεξῖνος ἔπεσε νυχθεὶς καλάμῳ.

γέγραφε δὲ οὐ μόνον πρὸς Ζήνωνα, ἀλλὰ καὶ ἄλλα βιβλία, καὶ πρὸς Ἔφορον τὸν ἱστοριογράφον. Εὐβουλίδου δὲ καὶ Εὐφάντου γέγονεν ὁ Ὀλυμπιος, ἱστορίας γεγραφὼς καὶ κατὰ χρόνους τοὺς ἑαυτοῦ. ἐποίησε δὲ καὶ βαγῳδίας πλείους, ὧν αἱ δοκιμώταται καὶ τοῦ ἀγῶνος. γέγονε δὲ καὶ Ἀντιγόνου τοῦ βασιλέως διδάσκαλος, πρὸς ὃν καὶ λόγον γέγραφε Περὶ βασιλείας, σφόδρα δοκιμαζόμενον. τὸ βιοῦν δὲ γήρᾳ καταστρεψεν. εἰσὶ δὲ καὶ ἄλλοι διαπεπτωκότες Εὐβουλίδου, ὧν εἷς καὶ Ἀπολλώνιος ὁ Κρόνος.

ΔΙΟΔΩΡΟΣ.

Διόδωρος, Ἀμεινίου, Ἰασεύς, καὶ αὐτὸς Κρόνος ὀνομάζετο, πρὸς ὃν φησι Καλλίμαχος ἐν ὑπομνήμασιν, αὐτὸς ὁ Μῶμος ἔγραφεν ἐν τοίχοις ὁ Κρόνος ὁ σοφός. ἦν δὲ καὶ διαλεκτικὸς, πρῶτος δόξας ἀρνήσασθαι τὸ ἐγκεκαλυμμένον καὶ κεραίνων λόγον, κατὰ τινας. οὗτος πρὸς Πτολεμαῖον τὸν Σωτῆρα διατρίβων λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Σπάλπωνος· καὶ παράδοξόν τι ἀνεύρημα διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως τὰ πολλὰ ἐπεμνήσθη, καὶ διὰ τὸν Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει

ἐξελθὼν δὴ ξυμποσίου, καὶ λόγον γράψας περὶ τῆς μέθης, ἀθυμίᾳ τὸν βίον κατέστρεψε. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν,

Κρόνε Διόδωρε τίς σε δαιμόνων κακὴ
Ἀθυμία ξυνείρυσεν,
Ἵν' αὐτὸς αὐτὸν ἐμβάλῃς εἰς τάρταρον,
Σπίλπωνος οὐ λύσας ἔπη
Αἰνιγματώδη; τί γὰρ εὑρέθης Κρόνος,
Ἐξωθεν τῶ ῥοῦ κάπτα πε.

ΤΩΝ δ' ἀπὸ Εὐκλείδου ὅσοι Ἰχθύας Μεπάλλη, αἰνήγμωνάϊος, περὶ οὗ καὶ Διοκλῆς ὁ κυνικὸς διάλογον πεποίηκε. Κλεινόμαχός τε ὁ Θούριος, ὃς πρῶτος περὶἀξιωμάτων καὶ κατηγορημάτων, καὶ τῶν τοιούτων συνέγραψε. καὶ Σπίλπων ὁ Μεγαρεύς, διαπρέπων φιλόσοφος, περὶ οὗ λεκτέον.

ΣΤΙΛΠΩΝ.

ΣΤίλπων, Μεγαρεύς, τῆς Ἑλλάδος, διήκουσε μὲν τῶν ἀπ' Εὐκλείδου τινῶν· οἱ δὲ καὶ αὐτὸν Εὐκλείδου ἀκοῦσαι φασὶν αὐτὸν, ἀλλὰ καὶ Θεομάχου τοῦ Κορινθίου, ὃς ἦν Ἰχθύα γνώριμος, καθά φησιν Ἡρακλείδης. τοσοῦτον δ' ὑπερεβάλετο καὶ σοφιστείᾳ τοὺς ἄλλους, ὥστε μικροῦ δεῖσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μαθεῖσαι. περὶ οὗ φησὶ Φίλιππος ὁ Μεγαρικὸς κατὰ λέξιν οὕτω, Παρὰ μὲν γὰρ Θεοφράστου Μητρόδωρον τὸ θεωρηματικὸν καὶ Τιμαγόραν τὸν Γελῶον ἀπήσασε, παρὰ δὲ Ἀριστοτέλους τὸ Κυρηναϊκοῦ Κλείταρχον καὶ Σιμμίαν· ἀπὸ δὲ τῶν διαλεκτικῶν, Παιώνιον μὲν ἀπὸ Ἀριστείδου. Διόφιλον δὲ τὸν Βοσπορανὸν Εὐφαίτου, καὶ Μύρμηκα τὸν Ἐξαρτέου, παραγυμνάσιους ὡς ἐλέγχοντας, ἀμφοτέρους ζηλωτὰς ἔχει· χωρὶς δ' ἐκείνων τούτων, Φασίδημον μὲν τὸν πειρατητικὸν καὶ φυσικὸν ἔμπειρον ὄντα, Θρασυμήδην, καὶ τὸν ῥητορικὸν Ἄλκιμον, ἀπάντων παρασπεύοντα τῶν ἐν τῇ Ἑλ-

λάδι ῥητόρων, Κράτητά τε, καὶ ἄλλους πλείστους ὅσους ἐθήρασε· καὶ δὴ καὶ Ζηνωνα τὸν Φοίνικα μετὰ τούτων ἀφείλετο. ἦν δὲ καὶ πολιτικώτατος· καὶ γυναῖκα ἠγάγετο καὶ ἑταίρας σωλῶν Νικαρέτην, ὡς φησί που καὶ Ὀνήτωρ. ἣ θυγατέρα ἀκόλαστον ἐγέννησεν, ἣν ἔγημε γνώριμός τις αὐτοῦ Σιμμίας Συρακόσιος. ταύτης οὐκ ἔφη βούσης, εἰπεῖν πρὸς τὸν Σπίλπωνα, ὡς καταγέλοι αὐτόν· ὁ δέ, Οὐ μᾶλλον (εἶπεν) ἢ ἐγὼ τούτῳ κοσμῶ. ἀπεδέχετο δ' αὐτὸν (φασὶ) καὶ Πτολεμαῖος ὁ Σωτήρ. καὶ ἐγκρατὴς Μενέδημος, ἐδίδου τι ἀργύριον αὐτῷ, ἣ παρεκάλει εἰς Αἴγυπτον συμπλεῖν. ὁ δέ, μίσθιον μὲν ἢ ἀργυρίου τριῶν καὶ εἰκοσάδων ἢ τὴν ὁδόν, μεπῆλθεν εἰς Αἴγιναν, ἕως ἐκεῖνος ἀπέπλευσεν. ἀλλὰ καὶ Δημήτριος ὁ Λακωνόφρου, καταλαβὼν τὰ Μέγαρα, τὴν τε οἰκίαν αὐτῷ φυλαχθῆναι, καὶ πάντα τὰ ἀνατεθέντα τριπόδια ἀποδοθῆναι. ὅτε καὶ βουλομένῳ παρ' αὐτοῦ τὴν ἀπολωλεκότων ἀναχαφὴν λαβεῖν, ἔφη μηδὲν τῶν οἰκείων ἀπολωλέναι. παιδείαν γὰρ μηδένα ἀφαιρεῖσθαι, τὸν τε λόγον ἔχειν καὶ τὴν διάνοιαν. καὶ αὐτῷ διαλεχθεὶς περὶ ἀνθρώπων ἀνδρείας, οὕτως εἶχεν ὥστε περιέχειν αὐτόν. τέλος φασὶ περὶ τῆς ἀθανασίας τῆς τοῦ Φειδίου εἰκόνος πολὺν χρόνον λόγον ἐρωτῆσαι, Ἆρά γε ἡ τοῦ Διὸς ἀθανασία, θεός ἐστι; φήσαντος δέ, Ναί· Αὕτη δέ γε (εἶπεν) οὐκ ἔστι Διός, ἀλλὰ Φειδίου. συγχωρουμένου δέ, Οὐκ ἄρα (εἶπεν) αὐτὴ θεός ἐστιν. ἐφ' ᾧ καὶ εἰς Ἄρειον πάγον περικληθέντα, μὴ δύνασθαι, φάσκειν δ' ὀρθῶς διειλέχθαι. μὴ γὰρ εἶναι αὐτὴν θεόν, ἀλλὰ θεάν· θεοὺς δὲ εἶναι τοὺς ἄρρενας. καὶ μόνοις τοῖς Ἀρεοπαγίταις δοθέντος αὐτὸν κελεῦσαι τῆς πόλεως ἐξελθεῖν. ὅτε καὶ Θεόδωρον τὸν ἀθεϊκὸν τὰ ἐπιτήδεια ἐπιπέμψαι, Πόθεν δὲ τοῦτ' ἦλθε Σπίλπωνι; ἢ παρασύρας αὐτῆς τὸν κῆπον ἐθεάσατο; ἦν δ' ἀληθῶς, εἴπερ μή τις ψεύστης Σπίλπων ἦν, κομψότατος. Κράτητος γοῦν αὐτὸν ἐρωτή-

σαντος, εἰ οἱ θεοὶ χαίροισι ταῖς θυσίαις καὶ εὐχαῖς, φασὶν εἰπεῖν, Περὶ τούτων μὴ ἐρώτα, αὐτὸς ἐν οἶδ' ὅ, δῆλα μόνον. τὸ δ' αὐτὸ καὶ Βίωνα ἐρωτηθέντα εἰ θεοί εἰσιν, εἰπεῖν·

Οὐκ ἀπ' ἐμοῦ σκεδάσῃς ὄχλον ἀλαπίεσε φρένας;

ἰὼν δ' ὁ Στίλπων καὶ ἀφελὴς, καὶ ἀνεπίπλαστος, θεός τε τὸν ἰδιώτην βλέπεις. Κράτης γοῦν ποτε τὸ κωμικοῦ θεὸς μὲν τὸ ἐρωτηθὲν ὑπ' ἀποκριναμένου, ἀποπαρδόντος δὲ, Ἥδη, ἔφη, ὡς πάντα μᾶλλον φθέγξῃ ἢ ἃ δεῖ. ἀλλὰ καὶ ἰχθύα θυσάντος αὐτῷ ποτε καὶ ἐρώτημα, δεξάμενον καταφαγεῖν. τὸ δ', Ὦ Ἡράκλεις, εἰπόντος, ἀπολώλεκα τὴν ἰχθύα· Οὐ μόνον, (ἔφη) ἀλλὰ καὶ τὸ ἐρώτημα, ὃ ἰὼν ἀπράβων ἡ ἰχθύς. πάλιν δ' ἰδὼν τὸν Κράτητα χλανίσκου συγκεκαυμένου, Ὦ Κράτης (εἶπε) δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ, ὅστις ἰὼν, νοῦ καὶ ἱματίου. καὶ τὸν αἰδεσθέντα παρῳδήσας εἰς αὐτὸν οὕτω,

Καὶ μὴν καὶ Στίλπων' ἔσιδον χαλεπ' ἄλγε' ἔχοντα·
Ἐν Μεγάροις, ἵνα φασὶ Τυφωέος ἔμμεναι ἄντρα.
Εἶτά τ' ἐρεζέσκε, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι·
Τὸν δ' ἀρετὴν ὧδε γράμμα διώκοντες κατέβιβον.

λέγεται δ' οὕτως Ἀθηνῶσιν ὑπηρέτας τοὺς αὐτοὺς, ὥστ' ἀπὸ τῶν ἐργαστηρίων σωθῆναι ἵνα αὐτὸν θεάσωνται. καί τινος εἰπόντος, Στίλπων, θαυμαζόμενός σε ὡς θεῖον, Οὐμβρικῶν, (εἶπεν) ἀλλ' ὡς ἄνθρωπον ἀληθινόν. δεινὸς δὲ ἦν ὡς ἐν τοῖς ἐριστικοῖς, αἱρεῖ καὶ τὰ εἴδη· καὶ ἔλεγε τὸν λεγόμενον ἄνθρωπον εἶναι, μηδένα. οὔτε γὰρ τόνδε λέγειν οὔτε τόνδε. τί γὰρ μᾶλλον τόνδε ἢ τωνδί; οὔτε ἄρα τόνδε. καὶ πάλιν, Τὸ λάχανον οὐκ ἔστι τὸ δεικνύμενον, λάχανον μὲν γὰρ ὂν τῶν μειόνων ἑνός. ὃν ἄρα οὐδὲ τοῦτο λάχανον. φασὶ δ' αὐτὸν ὁμιλοῦντα Κράτητι, μεταξὺ ἀποδυσαμένῳ ἰχθῦς ὠνήσασθαι. τοῦ δ' ὑπαναχωροῦντος, καὶ φάσκοντος, Καταλείπεις τὸν λόγον; Οὐκ ἔγωγε (ἔφη), ἀλλὰ τὸν λόγον ἔχω, σὲ δὲ καταλείπω· ὁ μὲν γὰρ λόγος ὠνεῖται,

τὸ δ' ὄψει παραδόσεται. φέρονται δ' αὐτοῦ διάλογοι ὀγδοήκοντα ψυχροί, Μόλων, Αἰσχίνης ἢ Καλλίας, Πτολεμαῖος, Χαιρεκράτης, Μητρόκλης, Αἰσχυλίνης, Ἐπιχάρης, Πρὸς ἑαυτὸν δύο πέρα, Αἰσωπέλης. τύπου καὶ Ἡρακλείδης φησὶ τὸ Ζήνωνα ἀκούσαντα τὸν τραγικὸν κήπον γραῦν ἢ πλάνην τινὰ φησὶν Ἕρμιππος, οἷον τερετισκάμβιον, ὅπερ ἐστὶν ἀπροσδόκητον. ἔστι δὲ καὶ εἰς τοῦτον ἰαμβεῖα,

Τὸν Μενδρεία τ' Σπάλπωνα (γινώσκεις δ' ἴσως)
Γῆρας ἐπιπλήσσοντα καθῆλε, διάλογον ζυγόν,
Ἀλλ' οἷον θύρετρα κακῆς σωφροσύνης
Φέρτερον λιθίνων· πολὺ γὰρ ἥλασεν.

τετρασκώφθη δὲ ὑπὸ Σοφίλου τοῦ κωμικοῦ ἐν δράματι γάμου,

Σπάλπωνος ὄντ' βύσμα δ' ὁ Χαρίνου λόγος.

ΚΡΙΤΩΝ.

ΚΡίτων, Ἀθηναῖος· οὗτος μάλιστα φιλοσοφήσας διετέθη πρὸς Σωκράτην, καὶ οὕτως ἐπεμελεῖτο αὐτοῦ ὥστε μηδὲ πατέρα λείπειν τὴν πρὸς τοῦτον χρείαν. καὶ οἱ παῖδες δὲ αὐτοῦ διήκουσαν Σωκράτους, Κριτόβουλος, Ἑρμογένης, Ἐπιγένης, Κτήσιππος. ὁ δ' οὖν Κρίτων διαλόγους γέγραφεν ἐνίους φερομένους βιβλίῳ ἑνὶ καιδέκα, τοὺς ὑπογεγραμμένους, Ὅπου ὀκτὼ τὸ μαθεῖν οἱ ἀγαθοί, Περὶ τοῦ πλείων ἔχειν, Τί τὸ ὀφειλόμενον, ἢ Πολιτικός, Περὶ τοῦ καλοῦ, Περὶ τοῦ κακουργεῖν, Περὶ δικαιοσύνης, Περὶ νόμου, Περὶ τοῦ θείου, Περὶ πλούτου, Περὶ σωφροσύνης, Περὶ σοφίας, Πρωταγόρας, ἢ Πολιτικός, Περὶ γραμμῆς, Περὶ πολιτικῆς, Περὶ τοῦ καλοῦ, Περὶ τοῦ μαθεῖν, Περὶ τῆς γονῆς, ἢ Περὶ ὀφειλήματος, Τί τὸ ὀφειλόμενον.

ΣΙΜΩΝ.

Σίμων, Ἀθηναῖος, σκυτοτόμος. οὗτος, ἐρομένου Σωκράτης ὅπῃ τὸ ἐργαστήριον, καὶ διαλεγομένου ἑνὸς, ὧν ἐμνημόνευε Ξενοφῶν ἐποιεῖτο· ὅθεν Σωκρατικοὶ αὐτοῦ τοὺς διαλόγους καλοῦσιν. εἰσὶ δὲ τρεῖς καὶ τεσσαράκοντα ἐν ἑνὶ φερομένῳ βιβλίῳ· Περὶ θεῶν, Περὶ ἀγαθοῦ, Περὶ τοῦ καλοῦ, Τί τὸ καλόν, Περὶ δικαίου σώφρονος, δεύτερος· Περὶ ἀρετῆς, ὅπου διδακτόν, Περὶ ἀνδρείας, σώφρονος, δεύτερος, τρίτος· Περὶ νόμου, Περὶ δημαγωγίας, Περὶ ὕμνης, Περὶ ποιήσεως, Περὶ ὑπαθείας, Περὶ ἔρωτος, Περὶ φιλοσοφίας, Περὶ ὀψιμάθους, Περὶ μουσικῆς, Περὶ πιθανότητος, Τί τὸ καλόν, Περὶ διδασκαλίας, Περὶ τοῦ διαλέγεσθαι, Περὶ κρίσεως, Περὶ τοῦ ὄντος, Περὶ ἀριθμοῦ, Περὶ ὀλιγωρίας, Περὶ τοῦ ἐρᾶσθαι, Περὶ φιλοκερδοῦς, Περὶ ἀλαζονείας, Περὶ τοῦ καλοῦ. οἱ δὲ, Πρὸς τοὺς βουλεύεσθαι, Περὶ λόγου, ἢ Περὶ ὀλιγοδεήτους, Πρὸς κακουργίας. οὗτος (φασὶ) σώφρονος διελέχθη τοῖς λόγοις τοῖς Σωκρατικοῖς. ἐπαγγειλαμένου δὲ Περικλέους θρέψαν αὐτὸν, καὶ κελεύοντος αἰτῆσαι παρ' αὐτὸν, ὃν αὐτὸν ἔφη πρὸς παρρησίαν ἀποδόσθαι. γέγονε δὲ καὶ ἄλλος Σίμων ῥήτωρ καὶ πέρας γεγραφὼς καὶ ἕτερος, ἀγαθὸς, καὶ Σέλευκον τὸν Νικανορα· καὶ ὃς ἀνδριαντοποιός.

ΓΛΑΥΚΩΝ.

Γλαύκων, Ἀθηναῖος· καὶ τούτου φέρονται ἐν ἑνὶ διάλογοι ἑπτά· Φαίδυλος, Εὐριπίδης, Ἀμμώνιχος, Εὐθίας, Λισιθείδης, Ἀεισφαίης, Κέφαλος, Ἀναξίφημος, Μενέξενος. φέρονται καὶ ἄλλοι δύο καὶ τεσσαράκοντα, οἱ νοθεύονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΙΜΜΙΑΣ.

Σιμμίας ὁ Θηβαῖος· καὶ τύπου φέρονται αὐτοῦ διάλογοι τρεῖς καὶ εἴκοσι, Περὶ Σοφίας, Περὶ λογισμοῦ, Περὶ ὑποστάσεως, Περὶ ἐπῶν, Περὶ αἱρέσεως, Περὶ φιλοσοφίας, Περὶ ἀληθείας, Περὶ γραμμάτων, Περὶ διδασκαλίας, Περὶ τέχνης, Περὶ τῶν ὀπισταπῶν, Περὶ τροπῆς, Περὶ αἰσθήσεως καὶ φθυκτοῦ, Περὶ φίλου, Περὶ τῶν εἰδέων, Περὶ ψυχῆς, Περὶ τοῦ εὖ ζῆν, Περὶ δώρων, Περὶ χρημάτων, Περὶ ζωῆς, Τίνα καλοῖ, Περὶ ὀπτικῆς, Περὶ ἔρωτος.

ΚΕΒΗΣ.

Κέβης ὁ Θηβαῖος. καὶ τούτου φέρονται διάλογοι ξ΄. Πίναξ, Ἑβδόμη, Φρυνίχος.

ΜΕΝΕΔΗΜΟΣ.

Μενέδημος τοῦ τῶν ἀπὸ Φαίδωνος, Κλεινίου, τοῦ τῶν Θεοσεβιδῶν καλουμένων υἱὸς, αἱρέσεως ἀγωνοῦς μὲν, ἀρχέπτικτος δὲ καὶ πύρρων. οἱ δὲ καὶ σκωπτικὸν αὐτὸν εἶναί φασι, καὶ μαθεῖν ἐκάτερα τὸν Μενέδημον. ὅθεν γράψαντός αὐτοῦ ψήφισμά τι, καθ' ὃ ἔφατό τις Ἀλεξίνειος, εἰπὼν ὡς οὔπω σκωπτικὸν οὔτε ψήφισμα συγγέγραπται τῷ Σοφῷ γράφειν. πεμφθεὶς δὲ πρεσβευτὴς ὁ Μενέδημος ὑπὸ τῶν Ἐρετριέων εἰς Μέγαρα, αὐτῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα, καὶ θεασάμενος καταλιπὼν τὴν πρεσβείαν. Ἀσκληπιάδου δὲ Φλιασίου σφετερισάμενος αὐτὴν, ἐβούλετο ὑπὲρ Μεγάρων πρὸς Σπάρτην· ὅθεν ἀμφότερα διήκουσε. κἀντεῦθεν πλεύσας εἰς Ἤλιν, Ἀγχιπύλῳ καὶ Μόλωνι τοῖς ἀπὸ Φαίδωνος παρέβαλεν. καὶ μέχρι μὲν πύστεως (ὡς φασὶν ἔνιοι τῶν περὶ Φαίδωνος) Ἠλειακοὶ προσηγορεύοντο· Ἐρετριακοὶ δὲ ἐκλήθησαν ἀπὸ τῆς πατρίδος τοῦ σοφοῦ.

ὁ λόγος. φαίνεται δὴ ὁ Μενέδημος σεμνὸς ἱκανῶς γεγενῆσθαι. ὅθεν αὐτὸν Κρατῖνος παρῳδῶν φησι,

Φλιάσιόν τ' Ἀσκληπιάδην, καὶ τὸν Ἐρετριέα.

ὁ δὲ Τίμων οὕτω,

Λόγον ἀνασείσας ὠφρυωμένος ἀφροσιβόμβαξ.

οὕτω δὲ ἴδιος σεμνὸς, ὡς Εὐρύλοχον τὸν Κασανδρέα μετὰ Κλειτίππου Κυζικηνοῦ μιεροσκίου κληθέντα ὑπὸ Ἀντιγόνου αὐτεπιπεῖν. φοβεῖσθαι γὰρ μὴ Μενέδημος ἀφθῇ. ἦν γὰρ ὀπικόπης καὶ παῤῥησιαστής. μιεροσκίου γοῦν καταθρασυνομένου, εἶπε μηδὲν λαβὼν ὁ κάρφος, διέχαφεν εἰς τὸ ὕδαφος φθεγγομένου χῆνα· ἕως ὁρώντων πάντων σωθὲν τὸ μιεροσκίον πρὸ ὕβεως ἀπηλλάχθη. Ἱεροκλέους δὲ ὅτι ὁ Πειραιεὺς σωσιανακόπτοντος αὐτῷ ὅτι Ἀμφιαράου, καὶ πολλὰ λέγοντος περὶ τῆς ἀλώσεως τῆς Ἐρετρείας, ἄλλο μὲν οὐδὲν εἶπεν, ἠρώτησε δὲ εἰς τί αὐτὸν Ἀντίγονος φθαίνει. πρὸς δὲ τὸν θρασυνόμενον μοιχὸν, Ἀγνοεῖς (ἔφη) ὅτι οὐ μόνον κράμβη χυλὸν ἔχει χρηστὸν, ἀλλὰ καὶ ῥαφανίδες; πρὸς δὲ τὸν νεώτερον κεκφάγοτα, Σκέψαι (ἔφη) μή τι ὄπισθεν ἔχων λέληθας. Ἀντιγόνου δὲ συμβουλευομένου εἰ ὅτι κῶμον ἀφίκοιτο, σωπήσας τὸν ἄγγελον μόνον ἐκέλευσεν ἀπαγγεῖλαι ὅτι βασιλέως ἰόντος. πρὸς δὲ τὸν αἰσθόμενον αἰσχρόν τι πάντως εἰκαίως, ἠρώτησεν εἰ ἀγρὸν ἔχει· φήσαντος δὲ, Καὶ πάμπλεισα κτήματα, Πορθοῦ τοίνυν, (ἔφη) κἀκείνων ὅπως μὴ συμβῇ σοι καὶ ταῦτα καταφθεῖραι, καὶ κομψὸν ἰδιώτην ἀποκαλεῖν. πρὸς δὲ τὸν πυθόμενον εἰ γήμας ὁ ἀπουδαῖος, ἔφη, Πότερον ἐγώ σοι ἀπουδαῖος δοκῶ, ἢ οὔ; φήσαντος δὲ ναί, Ἐγὼ τοίνυν (εἶπε) γεγάμηκα. πρὸς δὲ τὸν εἰπόντα πολλὰ καὶ ἀγαθὰ, ἐπύθετο πόσα τὸν ἀριθμὸν, καὶ εἰ νομίζει πλείω τῶν ἑκατόν. μὴ δυναμένου δὲ τῶν καλούντων ὅτι δεῖπνον τινὸς παρελεῖν τὴν πολυτέλειαν, κληθεὶς ποτε, οὐδὲν μὲν εἶπε· σωπῶν δ' αὐτὸν ἐνουθέτησε.

Περὶ δὲ ἀγαθῶν ἢ κακῶν τοιαῦτα ἔλεγε. τέλος μὲν εἶναι τὸν ἐξομοίωσιν τῷ θεῷ· τοῦτο δ' ἀρετὴν, αὐτάρκη μὲν εἶναι πρὸς εὐδαιμονίαν· ὀργάνων δὲ προσδεῖσθαι τῶν πρὸς σῶμα πλεονεκτημάτων, ἰσχύος, ὑγείας, αἰσθήσεως, τῶν ὁμοίων· καὶ τῶν ἐκτὸς, οἷον πλούτου καὶ εὐγενείας καὶ δόξης. οὐδὲν δὲ ἧττον εὐδαίμονα ἔσεσθαι τὸν σοφὸν, κἂν ταῦτα μὴ παρῇ· πολιτεύσεσθαι αὖ, καὶ γαμήσειν, καὶ τοὺς κειμένους νόμους οὐ παραβήσεσθαι. ἐν δὲ τῶν ἀνεχομένων καὶ νομοθετήσειν τῇ ἑαυτοῦ πατρίδι, ἐὰν μὴ πάλιν ἀναιρῇται ὁρᾷ τὰ πράγματα ἐν ὑπερβαλλούσῃ διαφορᾷ δήμου. οἴεται δὲ καὶ θεοὺς ἐφορᾶν τὰ ἀνθρώπινα καὶ δαίμονας εἶναι. ἔννοιαί τε καλοῦ πρῶτος ἀπεφήνατο τῷ ἐχομένῳ τῷ ἐπαινετοῦ· καὶ λογικοῦ καὶ χρησίμου καὶ πρέποντος καὶ ἁρμοττόντος· ἅπερ πάντα ἔχεσθαι τοῦ ἀκολούθου τῇ φύσει καὶ ὁμολογουμένου. διελέχθη δὲ καὶ περὶ ὀνομάτων ὀρθότητος· ὥστε καὶ τὸν ὀνομάζοντα τὸ ὀρθῶς ἀποκρίνεσθαι καὶ ἐρωτᾶν, πρόδηλον αὐτὴν διασῳζούσης καταλόγως χρησαμένου. ἐν δὲ τοῖς διαλόγοις καὶ τὸν δικαιοσύνην θεοῦ νόμον ὑπελάμβανεν, ὡς ἰσχυροτέραν προβεβλῆσθαι δίκαια πράττειν, ἵνα μὴ καὶ μετὰ θάνατον δίκας ὑποσχόντες οἱ κακοῦργοι. ὅθεν καὶ μὴ δικαίτερος ἑαυτοῦς ὑπολήφθη, τοῖς συγγράμμασιν ἐγκαταμίξας τὰς τοιαύτας διηγήσεις, ὅπως διὰ τοῦ ἀδήλου τρόπου τὸ ἔχειν τὰ

μετὰ τὸν θάνατον, οὕτως ἀπέχονται τῶν ἀδικημάτων. καὶ τούτων μὲν ὧν αὐτῷ τὰ ἀρέσκοντα. διήρηται δ' (φησὶν ὁ Ἀριστοτέλης) καὶ τὰ πράγματα τῶν τὸν ἔπαινον. τῶν ἀγαθῶν ὅσα τὰ μὲν, ἐν ψυχῇ· τὰ δ', ἐν σώματι· τὰ δ', ἐκτός. οἷον, ἡ μὲν δικαιοσύνη, καὶ ἡ φρόνησις, καὶ ἡ ἀνδρεία, καὶ ἡ σωφροσύνη, καὶ τὰ τοιαῦτα, ἐν ψυχῇ· τὸ δὲ κάλλος, καὶ ἡ ἀρτιότης, καὶ ἡ ὑγεία, καὶ ἡ ἰσχύς, ἐν σώματι· οἱ δὲ φίλοι, καὶ ἡ τῆς πατρίδος εὐδαιμονία, καὶ ὁ πλοῦτος, ἐν τοῖς ἐκτός. τῶν ἀγαθῶν ἃ ἕξεις εἴδη ὅσα· τὰ μὲν ἐν ψυχῇ· τὰ δὲ, ἐν σώματι· τὰ δὲ, ἐκτός. τῆς φιλίας εἴδη ἔστι· ἡ μὲν γὰρ αὐτῆς, ὅση φυσικὴ· ἡ δὲ, ἑταιρικὴ· ἡ δὲ, ξενική. φυσικὴν μὲν οὖν ταύτην λέγομεν, ἣν οἱ γονεῖς πρὸς τὰ ἔκγονα ἔχουσι, καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλους· ταύτην δὲ κινεῖται καὶ τὰλλα ζῶα. ἑταιρικὴν δὲ καλοῦμεν τὴν ἀπὸ συνηθείας γινομένην, καὶ μηδὲν πρὸς ἡμᾶς· ἀλλ' οἵαν ἡ Πυλάδου πρὸς Ὀρέστην. ἡ δὲ ξενικὴ φιλία, ἡ ἀπὸ συστάσεως καὶ διὰ γραμμάτων γινομένη πρὸς τοὺς ξένους. τῆς δὲ φιλίας, ἡ μὲν ὅση φυσική, ἡ δὲ ἑταιρική, ἡ δὲ, ξενική. πρὸς πόσα δέ πιες πάρεστιν ἐρωτικά. τῆς πολιτείας ὅσα εἴδη πέντε. τὸ μὲν γὰρ αὐτῆς, ὅση δημοκρατικόν· ἄλλο δὲ, ἀριστοκρατικόν· τρίτον δὲ, ὀλιγαρχικόν· τέταρτον, βασιλικόν· πέμπτον, τυραννικόν. δημοκρατικὸν μὲν οὖν ὅταν ἐν αἷς πόλεσι κρατεῖ τὸ πλῆθος, καὶ τὰς ἀρχὰς καὶ τοὺς νόμους δι' ἑαυτοῦ αἱρεῖται. ἀριστοκρατία δέ ὅταν ἐν ᾗ μηδὲ οἱ πλούσιοι, μηδὲ οἱ πένητες, μηδὲ οἱ ἔνδοξοι ἄρχωσιν, ἀλλ' οἱ ἄριστοι τῆς πόλεως πρὸς τὰ πρῶτα. ὀλιγαρχία δὲ ἔστιν ὅταν ἀπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται. ἐλάττους γὰρ εἶναι δεῖ τῶν πλουσίων τῶν πενήτων. τῆς δὲ βασιλείας, ἡ μὲν κατὰ νόμον, ἡ δὲ κατὰ γένος ἔστιν. ἡ μὲν οὖν ἐν Καρχηδόνι, κατὰ νόμον (πολιτικὴ γὰρ ἔστιν) ἡ δὲ ἐν Λακεδαίμονι καὶ Μακεδονίᾳ, κατὰ γένος. (ἀπὸ γὰρ τινος γένους πιοῦνται τὴν βασιλείαν) τυραννὶς δέ ἔστιν ἐν ᾗ ὁ μοναρχοῦντες ἢ βιαίως ἢ δολίως ἐπὶ πᾶσι ἄρχουσιν. τῶν

ἀρέ-

ἄρα πολιτείας ἡ μὲν ὀλιγαρχία, ἡ δὲ, δημοκρατία, ἡ δὲ, ἀριστοκρατία, ἡ δὲ, ὀλιγαρχία, ἡ δὲ, βασιλεία, ἡ δὲ, τυραννίς. τῆς δὲ δικαιοσύνης ὄντιν ἕδη τρία. ἡ μὲν γὰρ αὐτῆς, ὅτι πρὸς θεοὺς· ἡ δὲ, πρὸς ἀνθρώπους· ἡ δὲ, πρὸς τοὺς ἀποιχομένους· οἱ μὲν γὰρ, θύοντες καὶ νόμους, καὶ τῶν ἱερῶν ὅπη μελούμενοι, δῆλον ὅτι πρὸς θεοὺς ἀσεβοῦσιν· οἱ δὲ δαρεῖα ἀποδιδόντες καὶ πρᾶξαι παθήκας, δικαιοπραγοῦσι πρὸς ἀνθρώπους· οἱ δὲ τῶν μνημείων ὅπη μελούμενοι, δῆλον ὅτι πρὸς τοὺς ἀποιχομένους. τῆς ἄρα δικαιοσύνης, ἡ μὲν πρὸς θεοὺς ὄντιν, ἡ δὲ πρὸς ἀνθρώπους, ἡ δὲ πρὸς τοὺς ἀποιχομένους. τῆς δὲ πρακτικῆς εἴδη ὄντι τρία· τὸ μὲν γὰρ, ὅτι πρακτικόν· τὸ δὲ, ποιητικόν· τὸ δὲ, θεωρητικόν. ἡ μὲν γὰρ οἰκοδομικὴ καὶ ναυπηγικὴ, ποιητικαί εἰσιν· ἔστι γὰρ αὐτῶν ἰδεῖν ἔργον πεποιημένον. πολιτικὴ δὲ καὶ αὐλητικὴ καὶ κιθαριστικὴ, καὶ αἱ τούτων, πρακτικαί· οὐ γὰρ ὄντιν οὐδὲν ἰδεῖν θέατον αὐτῶν πεποιημένον, διὰ πρᾶξιν τοιοῦτόν τι. ὁ μὲν γὰρ αὐλεῖ καὶ κιθαρίζει, ὁ δὲ πολιτεύεται. ἡ δὲ γεωμετρικὴ, καὶ ἁρμονικὴ, καὶ ἀστρολογικὴ, θεωρητικαί. οὔτε γὰρ πράττουσιν, οὔτε ποιοῦσιν οὐδέν· ἀλλ' ὁ μὲν γεωμέτρης θεωρεῖ πῶς πρὸς ἀλλήλας ἔχουσιν αἱ γραμμαί· ὁ δὲ ἁρμονικὸς, τοὺς φθόγγους· ὁ δὲ ἀστρολογικὸς, τὰ ἄστρα καὶ τὸν κόσμον. τῶν ἄρα ἐπιστημῶν αἱ μὲν εἰσι θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί· τῆς ἰατρικῆς, ὄντιν ἕδη πέντε· ἡ μὲν, φαρμακευτικὴ· ἡ δὲ, χειρουργικὴ· ἡ δὲ, διαιτητικὴ· ἡ δὲ, νοσοκομικὴ· ἡ δὲ, βοηθητικὴ. ἡ μὲν φαρμακευτικὴ, διὰ φαρμάκων ἰᾶται τὰς ἀῤῥωστίας· ἡ δὲ χειρουργικὴ, διὰ τὸ τέμνειν καὶ καίειν ὑγιάζει· ἡ δὲ διαιτητικὴ, διὰ τὸ διαιτᾶν ἀπαλλάττει τὰς ἀῤῥωστίας· ἡ δὲ νοσοκομικὴ, διὰ τὸ γνῶναι τὸ ἀῤῥώστημα· ἡ δὲ βοηθητικὴ, διὰ τὸ βοηθῆσαι, εἰς τὸ πρᾶγμα ἀπαλλάττει τῆς ἀλγηδόνος. τῆς ἄρα ἰατρικῆς ἡ μὲν ὄντι φαρμακευτικὴ, ἡ δὲ, χειρουργικὴ, ἡ δὲ, διαιτητικὴ, ἡ δὲ, βοηθητικὴ, ἡ δὲ, νοσοκομικὴ. νόμου διαιρέσις δύο· ὁ μὲν γὰρ αὐτῶν, γεγραμμένος·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ ἄγραφος. ὧ μὴν ἐν ταῖς πόλεσι πολιτευόμεθα, γεγραμμένος ἐστὶν· ὁ δὲ κατ' ἔθη γεγονώς, οὗτος ἄγραφος καλεῖται. ἔτι, τὸ μὴ γυμνὸν περιέσθαι εἰς τὴν ἀγορὰν, μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι· ταῦτα γὰρ οὐθεὶς νόμος κωλύει, ἀλλ' ὅμως οὐ ποιοῦμεν, διὰ τὸ ἀγράφῳ νόμῳ κωλύεσθαι. τῶν ἄρα νόμου ἐστὶν ὁ μὲν, γεγραμμένος· ὁ δὲ, ἄγραφος. ὁ λόγος διαιρεῖται εἰς πέντε, ὧν εἷς μέν ἐστιν ὃν οἱ πολιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις, ὃς καλεῖται πολιτικός· ἑτέρα δὲ διαίρεσις λόγου, ὃν οἱ ῥήτορες χάριν, εἰς ὀπὴ δεξίν τε προφέρουσιν, εἰς ἔγκωμια καὶ ψόγους· καὶ κατηγορίας. τὸ δὴ τοιοῦτον εἶδος, ἐστὶ ῥητορικόν. τρίτη δὲ διαίρεσις λόγου, ὃν οἱ ἰδιῶται διαλέγονται πρὸς ἀλλήλους· οὗτος δὴ ὁ τρόπος προσαγορεύεται ἰδιωτικός. ἑτέρα δὲ διαίρεσις λόγου, ὃν οἱ κατὰ βραχὺ ἐρωτῶντες καὶ ἀποκρινόμενοι τοῖς ἐρωτῶσιν διαλέγονται· οὗτος δὲ καλεῖται ὁ λόγος διαλεκτικός. πέμπτη ἡ διαίρεσις λόγου, ὃν οἱ τεχνῖται πρὸς τῆς ἑαυτῶν διαλέγονται τέχνης, ὃς δὴ καλεῖται τεχνικός. τῶν λόγου ἄρα, τὸ μὲν ἐστι πολιτικὸν, τὸ δὲ, ῥητορικὸν, τὸ δὲ, ἰδιωτικὸν, τὸ δὲ, διαλεκτικὸν, τὸ δὲ, τεχνικόν. ἡ μουσικὴ εἰς τρία διαιρεῖται. ἔστι γὰρ ἡ μὲν, διὰ τοῦ σώματος μόνον, οἷον ἡ ᾠδή· δεύτερον δὲ, διὰ τοῦ σώματος καὶ τῶν χειρῶν, οἷον ἡ κιθαρῳδία. τρίτον ἀπὸ τῶν χειρῶν μόνων, οἷον κιθαριστική. τῆς ἄρα μουσικῆς ἐστὶ τὸ μὲν, ἀπὸ τοῦ σώματος μόνον· τὸ δὲ, ἀπὸ τοῦ σώματος καὶ τῶν χειρῶν· τὸ δὲ, ἀπὸ τῶν χειρῶν. διαιρεῖται δὲ ἡ ἀνθρώπεια εἰς ἕξ πάθεα. ἔν μὲν, ἐὰν ὦσιν οἱ γεγονότες καλοὶ κἀγαθοὶ καὶ δίκαιοι, τοὺς ὁμοίους τούτων γεγονότας, ἀνθρώπους φασὶν εἶναι· ἄλλο δὲ, ἐὰν ὦσιν οἱ γεγονότες δεδουλωκότες καὶ ἄρχοντες γεγονότες, τοὺς ὁμοίους τούτων ἀνθρώπους φασὶν εἶναι· ἄλλο δὲ, ἐὰν ὦσιν οἱ γεγονότες ὀνομασταὶ, οἷον ἀπὸ στρατηγίας, ἀπὸ στεφανιτῶν ἀγώνων· καὶ γὰρ τοὺς ὁμοίους τούτων γεγονότας, ἀνθρώπους προσαγορεύομεν. ἄλλο εἶδος, ἐὰν

αὐτός τις ἡ ἡμιν άδας τὼ ψυχὼ καὶ μεγαλόψυχος, ἢ τὸν ἀνδρεῖον ἢ φασίν. καὶ τῆς γε ἀνδρείας αὕτη κράτησις. τί ἄρα ἀνδρείας τὸ μὲν, ἀπὸ τῶν τοιούτων ὀπεικῶν, τὸ ἢ, δεινὰ ἢ σῶν, τὸ ἢ, ἐνδόξων, τὸ δὲ, ἀπὸ τῆς αὐτῆς καλοκἀγαθίας. τὸ κάλλος διαιρεῖται εἰς τρία. ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαγγελτὸν, οἷον ἡ διὰ τῆς ὄψεως ἀμορφία· ἄλλο δὲ, χρησικόν· οἷον, ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα τῶν ἕνεκά τινος ἢ σοὶ καλά. τὸ ἢ τῶν νόμων καὶ ἐπιτηδευμάτων, καὶ τὰ τοιαῦτα, τῶν ὠφέλειαν ἐστὶ καλά. τί ἄρα κάλλους τὸ μὲν ἐστὶ τῶν ἔπαινον, τὸ δὲ τῶν χρῆσιν, τὸ δὲ τῶν ὠφέλειαν. ἡ ψυχὴ διαιρεῖται εἰς τρία. τὸ μὲν γὰρ αὐτῆς, ἐστὶ λογικόν· τὸ δὲ, ἐπιθυμητικόν· τὸ ἢ, θυμικόν. τούτων ἢ τὸ μὲν λογικόν ἐστιν αἴτιον τῶ βουλεύεσθαι, καὶ λογίζεσθαι, καὶ διανοεῖσθαι, καὶ πάντων τῶν τοιούτων· τὸ δ' ἐπιθυμητικὸν μέρος ἐστὶ τῆς ψυχῆς αἴτιον τῶ ἐπιθυμεῖν φαγεῖν, καὶ τῶ πιπράσαι, καὶ τῶν τοιούτων· τὸ δὲ θυμικὸν μέρος αἰτιόν ἐστι τῶ ἡδέσθαι καὶ ἥττασθαι καὶ ὀργίζεσθαι. τῆς ἄρα ψυχῆς ἐστὶ τὸ μὲν, λογικὸν, τὸ ἢ, ἐπιθυμητικὸν, τὸ δὲ, θυμικόν. τῆς πολιτείας ἀρετῆς εἴδη τέτταρα· ἓν μὲν, φρόνησις· ἓν δὲ, δικαιοσύνη· τρίτον, ἀνδρεία· τέταρτον, σωφροσύνη. τούτων ἡ μὲν φρόνησις, αἰτία τῶ πράττειν ὀρθῶς τὰ πράγματα· ἡ δὲ δικαιοσύνη, τοῦ ἐν τοῖς κοινωνίαις καὶ τοῖς συναλλάγμασι δικαιοπραγεῖν· ἡ δὲ ἀνδρεία, τῶ ἐν τοῖς κινδύνοις καὶ φοβεροῖς μὴ ἧττασθαι ποιεῖν, ἀλλὰ μένειν· ἡ δὲ σωφροσύνη, τῶ κρατεῖν τῶν ἐπιθυμιῶν, καὶ ὑπὸ μηδεμιᾶς ἡδονῆς δουλοῦσθαι, ἀλλὰ κοσμίως ζῆν. τῆς ἀρετῆς ἄρα τὸ μὲν ἐστὶ φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον ἀνδρεία, τέταρτον σωφροσύνη. ἡ ἀρχὴ διαιρεῖται εἰς μέρη πέντε· ἓν μὲν, εἰς τὸ κατὰ νόμον· ἓν δὲ, εἰς τὸ κατὰ φύσιν· ἓν δὲ, εἰς τὸ κατὰ ἔθος· τέταρτον, εἰς τὸ κατὰ ἡμος· πέμπτον δὲ, κατὰ βίαν. οἱ μὲν οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὑπὸ τῶν πολιτῶν ἐπὶ αἱρεθῶσι, κατὰ νόμον ἄρχουσιν·

εἰ ἢ κτ' φύσιν, οἱ ἄῤῥενες, οὐ μόνον ἐν τοῖς ἀνθρώποις δηλα-
δὴ καὶ ἐν τοῖς ἄλλοις ζώοις· (ὅπου γὰρ παντὸς τὰ ἄῤῥε-
να τοῦ θηλέως ἄρχει) ἡ δὲ πολιτικὴ κατ' ἔθος ἀρχὴ τοιαύ-
τη ἐστίν, οἵαν οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ
οἱ διδάσκαλοι τῶν φοιτητῶν. κτ' ἦθος δὲ ἀρχὴ τοιαύτη
τις λέγεται, οἵαν οἱ Λακεδαιμόνιοι βασιλεῖς ἄρχουσιν·
ἀπὸ γὰρ ἤθους τινὸς ἡ βασιλεία. καὶ ἐν Μακεδονίᾳ δ' τὸν
αὐτὸν τρόπον ἄρχουσι καὶ γὰρ ἐκεῖ ἀπὸ ἤθους ἡ βασιλεία
καθίσταται. οἱ δὲ βιασάρχοι ἢ ὠμοκρουσάρχοι ἄρχου-
σιν ἀκόντων τῶν πολιτῶν· ἡ τοιαύτη ἀρχὴ κτ' βίαν λέγεται
εἶναι. τῆς ἀρχῆς ἄρα ὄντι τὸ μὲν, κτ' νόμον, τὸ δὲ, κτ' φύσιν,
τὸ δὲ, κτ' ἔθος, τὸ δὲ, κτ' ἦθος, τὸ δὲ, κτ' βίαν. τῆς ῥητο-
ρείας εἴδη ὄντιν ἕξ. ὅταν μὲν γὰρ κελεύωσι πολεμεῖν ἢ συμ-
μαχεῖν τισὶ, καλεῖται τὸ τοιοῦτον εἶδος προτροπή·
ὅταν δὲ ἀξιῶσι μὴ πολεμεῖν μηδὲ συμμαχεῖν, ἀλλ' ἡσυ-
χίαν ἄγειν, τὸ τοιοῦτον εἶδος ἔστιν ἀποτροπή. τρίτον εἶδος τῆς
ῥητορείας ὅταν τις φάσκῃ ἀδικεῖσθαι ὑπό τινος, καὶ πολ-
λῶν κακῶν αἴτιον ἀποφαίνῃ. τὸ δὴ τοιοῦτον εἶδος κατηγο-
ρία ὀνομάζεται. τέταρτον εἶδος τῆς ῥητορείας ἀπολογία
καλεῖται, ὅταν ἀποφαίνῃ αὐτὸν μηδὲν ἀδικοῦντα, μήτε
ἄλλο ἄτοπον μηδὲν προσάπτοντα· τὸ δὴ τοιοῦτον ἀπολογίαν
καλοῦσι. πέμπτον εἶδος ῥητορείας, ὅταν τις θῦ λέξῃ ἢ ἀπο-
φαίνῃ καλὸν καὶ ἀγαθόν· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ἐγ-
κώμιον. ἕκτον εἶδος, ὅταν ψῦς ἀποφαίνῃ φαῦλον· τὸ δὴ τοι-
οῦτον εἶδος καλεῖται ψόγος. τῆς ἄρα ῥητορείας τὸ μὲν ὄντιν
ἐγκώμιον, τὸ δὲ ψόγος, τὸ δὲ προτροπὴ, τὸ δὲ ἀποτροπὴ, τὸ δὲ
κατηγορία, τὸ δὲ ἀπολογία. τὸ ὀρθῶς λέγειν διαιρεῖ-
ται εἰς πέντε· ἓν μὲν, ἃ δεῖ λέγειν· ἓν δὲ, ὅσα δεῖ λέγειν·
τρίτον, πρὸς οὓς δεῖ λέγειν· τέταρτον δὲ, πότε λέγειν δεῖ.
ἃ μὲν οὖν δεῖ λέγειν, ἃ μέλλει συμφέρειν τῷ λέγοντι καὶ
τῷ ἀκούοντι· τὸ δὲ ὅσα δεῖ λέγειν, μήτε πλείω μηδὲ ἐλάττω
τῶν ἱκανῶν· τὸ δὲ πρὸς οὓς δεῖ λέγειν, αὖ τε πρὸς πρεσβυ

τέρους ἁμαρτάνοντας διαλέγηται, ἁρμόττοντας δεῖ τοῖς λόγοις διαλέγεσθαι ὡς πρεσβυτέροις· αὖ τε πρὸς νεωτέρους, ἁρμόττοντας δεῖ λέγεσθαι, ὡς νεωτέροις. πηνίκα δὲ λέγειν ὅσι, μήτε πρότερα μήτε ὑστέρω· εἰ δὲ μή, διαμαρτήσεσθαι καὶ κακῶς ἐρεῖν. ἡ ἀνεργασία διαιρεῖται εἰς τέτταρα. ἢ γὰρ χρήμασιν, ἢ σώμασιν, ἢ ταῖς ὀπτικήμαις, ἢ τοῖς λόγοις. τοῖς μὲν οὖν χρήμασιν, ὅταν δεομένῳ βοηθήσῃ τις εἰς χρημάτων λόγον ἀποτρῆσαι. τοῖς δὲ σώμασιν οὓς ποιοῦσιν ἀλλήλους, ὅταν πληγωμένοις τιτρωμένοις βοηθῶσιν. οἱ δὲ παιδεύοντες, καὶ ἰατρεύοντες, καὶ διδάσκοντες ἀγαθόν τι, οὗτοι ταῖς ὀπτικήμαις ἀνεργετοῦσιν· ὅταν δ' εἰσέλθωσιν εἰς δικαστήριον ἄλλος ὑπὲρ ἄλλου βοηθός, καὶ λόγον τινὰ ὀπτικὴν εἰπὴ ὑπὲρ αὐτοῦ, οὗτος δὴ λόγῳ ἀνεργετεῖ. τῆς μὲν ἀνεργασίας ἡ μὲν ὅτι διὰ χρημάτων, ἡ δὲ διὰ σωμάτων, ἡ δὲ διὰ ὀπτικημάτων, πάρτι διὰ λόγων. διαιρεῖται τὸ πέλος τῶν πραγμάτων εἰς τέτταρα εἴδη· ἓν μὲν τῶν νόμον πέλος τὰ πράγματα λαμβάνει, ὅταν ψήφισμα γένηται, ᾧ θὲ ὁ νόμος πελέσῃ. τῶν φύσιν ὃ πέλος τὰ πράγματα λαμβάνει ἥ, τε ἡμέρα καὶ ὁ ἐνιαυτὸς, καὶ αἱ ὧραι· τῶν τέχνων ὃ πέλος τὰ πράγματα λαμβάνει, οἷς ἡ οἰκοδομικὴ (οἰκίαν γὰρ ἂν ὀπτελᾷ) καὶ ἡ ναυπηγικὴ πλοῖα γάρ. τῶν τύχην ὃ γίνεται τοῖς πράγμασι πέλος, ὅταν ἄλλως, καὶ μὴ ὡς ἐπὶ τὸ πολὺ λαμβάνει τις ἀποβαίνῃ. τὰ τέλους ἄρα τῶν πραγμάτων τὸ μὲν τῶν νόμων, τὸ δὲ τῶν φύσιν, τὸ δὲ τῶν τέχνων, τὸ δὲ τῶν τύχην ὄσιν. ἡ δυνάμις διαιρεῖται εἰς τέτταρα εἴδη· ἓν μέν, ὃ δυνάμεθα τῇ διανοίᾳ λογίζεσθαι καὶ ἐπινοεῖν ἕτερον ὄν, τῶν σώματι, οἷς πορεύεσθαι καὶ δίδόναι καὶ λαμβάνειν, καὶ τὰ τοιαῦτα· τέτταρον, ὃ δυνάμεθα πλήθεσι πολιτῶν καὶ χρήμασι, ὅθεν καλεῖται πολλῶν δυνάμων ἔχων βασιλεύς. τετάρτη ὃ διαίρεσις δυνάμεως, πάσχειν, καὶ δρᾶν ποιεῖν καὶ κακῶς· οἷς, ἀρρωστεῖν καὶ παιδεύεσθαι δυνάμεθα, καὶ ὑγιεῖς γίνεσθαι, καὶ πάντα τὰ τοιαῦτα. τῆς ἀ-

ες δυνάμεως ἡ μὲν ὄρεξίς ἐν διανοίᾳ, ἡ δὲ ἐν τῷ σώματι, ἡ δὲ ἐν τῷ σπαπτὸ ὡ καὶ χρήμασιν, ἡ δὲ ἐν τῷ πιεῖν καὶ πόσῳ. τῆς φιλανθρωπίας ἐστὶν εἴδη τρία· ἐν μὲν διὰ τῆς θεραπείας γινόμενον, ὅταν τὸν ἐντυχόντα πάντα θεραπεύουσι, καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαριεπίζονται· ἄλλο εἶδος, ὅταν τὸς βοηθητικὸς ᾖ πανταχοῦ πρὸς ἕτερον εἰδὼς ὅτι τῆς φιλανθρωπίας, ἐν ᾧ τινὲς φιλοδοξήσαι εἰσιν. τῆς δὲ φιλανθρωπίας τὸ μὲν ὅτι διὰ τὸ θεραπεύειν, τὸ δ', διὰ τὸ ἀνεγείρειν, τὸ δὲ, διὰ τὸ ἑστιᾶν καὶ φιλοσωποιεῖσθαι. ἡ εὐδαιμονία διαιρεῖται εἰς πέντε μέρη· ἡ μὲν γὰρ αὐτῆς, ὅτι ἐστὶν εὐβουλία· ἡ δ', εὐαισθησία καὶ ὑγεία τοῦ σώματος· τρίτον, εὐτυχία ἐν ταῖς θεραπείαις· τέταρτον, εὐδοξία διὰ τοῦς ἀνθρώπους· πέμπτον, εὐπειθία χρημάτων καὶ τῆς εἰς τὸν βίον χρησίμων. ἡ μὲν εὐβουλία γίνεται ἐκ παιδείας, καὶ ἐκ τοῦ πολλοῦ ἐμπείρους γεγενῆσθαι· ἡ δ' εὐαισθησία, ἐκ τῆς τοῦ σώματος μεγάλων. οἷον, ἐάν τις ὀφθαλμοῖς ὁρᾷ, καὶ τοῖς ὠσὶν ἀκούῃ, καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ αἰσθάνηται ὧν δεῖ αἰσθάνεσθαι· τὸ δὲ τρίτον εὐαισθησία. ἡ δ' εὐτυχία, ὅταν ἐφ' ἃ σκοπεῖ, θεραπείᾳ κατ' ὀρθὸν ἃ δεῖ θεραπεῦσαι τὸν σπουδαῖον. εὐδοξία δ' ἐστὶν, ὅταν τὸς οἱ ἀκούῃ. εὐπειθία δ' ἐστὶν, ὅταν τὸς θεοὺς τὰς ἐν τῷ βίῳ χρήσεις οὕτως ἔχῃ ὥστε καὶ φίλους οἱ πιθανοὺς, καὶ φιλοπόμφους καὶ εὐπόρους ἀπολείπουργῆσαι. ᾧ δὲ ὑπάρχει ταῦτα πάντα ὅτις ἐστὶν εὐδαίμων τελέως. τῆς δὲ εὐδαιμονίας ὅτι τὸ μὲν, εὐβουλία, τὸ δὲ εὐαισθησία, καὶ ὑγεία τοῦ σώματος, τὸ δὲ εὐτυχία, τὸ δὲ εὐδοξία, τὸ δὲ εὐπειθία. αἱ τέχναι εἰς τρία διαιροῦνται· ἡ μὲν, θεωρητική, ἡ δ', δευτέρα, ἡ δὲ, τρίτη. θεωρητικὴ μὲν οὖν, ἡ μεταλλευτικὴ καὶ ὑλοτομική· θεωρησκευαστικὴ δὲ εἰσιν. ἡ δὲ, χαλκευτικὴ καὶ ἡ τεκτονική, μεταποιητικαί εἰσιν. ἐκ μὲν γὰρ τοῦ σιδήρου ἡ χαλκευτικὴ ὅπλα ποιεῖ, ἡ δὲ τεκτονικὴ ἐκ τῶν ξύλων, αὐλοὺς καὶ λύρας·

ἡ δὲ χρησική, οἷον ἱππική, τοῖς χαλινοῖς χρῆται, ἡ πολεμική τοῖς ὅπλοις, ἡ μουσική τοῖς αὐλοῖς καὶ τῇ λύρᾳ. πέντε ἄρα τέχναι εἴδη ὄντι· τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον. τὸ ἀγαθὸν εἰς πέντε ἴδια διαιρεῖται· ὧν μὲν ἓν λέγομεν εἶναι τὴν τοῦ ἀρετοῦ ἔχοντα ἰδίαν ἀγαθόν· ἄλλο δὲ, αὖ τοῦ ἀρετοῦ καὶ τοῦ δικαιοσύνου λέγομεν ἀγαθὸν εἶναι· τρίτον δὲ, οἷον σῖτα καὶ γυμνάσια τὰ σώφρονα καὶ φάρμακα· τέταρτον δὲ φαμὲν εἶναι ἀγαθόν, οἷον αὐλητικοῦ καὶ ὑποκριτικοῦ καὶ τὰ τοιαῦτα. ἀγαθοῦ ἄρα πέντε εἴδη ὄντι· τὸ μὲν, τὸ τοῦ ἀρετοῦ ἔχειν· ἕτερον δὲ, αὐτὴ ἡ ἀρετή· τρίτον δὲ, σῖτα καὶ γυμνάσια τὰ ὠφέλιμα· τέταρτον δὲ, αὐλητικοῦ καὶ ὑποκριτικοῦ καὶ ποιητικοῦ ἀγαθὸν λέγομεν εἶναι. τῶν ὄντων τὰ μὲν δοκεῖ κακά, τὰ δὲ ἀγαθά, τὰ δὲ οὐδέτερα. τούτων κακὰ μὲν λέγομεν ταῦτα, τὰ δυνάμενα βλάπτειν ἀεί, οἷον ἀκρασίαν καὶ ἀφροσύνην καὶ ἀδικίαν, καὶ τὰ τοιαῦτα· τὰ δὲ τούτοις ἐναντία ἀγαθά ὄντιν. τὰ δὲ ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν, οἷον τὸ φοβεῖσθαι, καὶ τὸ καθῆσθαι, καὶ ἐθέλειν, ἢ ὅλως μήτε ὠφελοῦσαν, μήτε βλάψαι δυνάμενα· ταῦτα γοῦν οὔτε ἀγαθά, οὔτε κακά ὄντιν. τῶν ἄρα ὄντων, τὰ μὲν, ἀγαθά, τὰ δὲ, κακά, τὰ δὲ, οὐδέτερα τούτων. ἀνομία διαιρεῖται εἰς τρία· ἓν μὲν, ἐὰν ὦσιν οἱ νόμοι ἀπαίδευτοι, ἀνομίαν φαμὲν εἶναι· ἕτερον δὲ, ἐὰν τοῖς χειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται, καὶ τοῦτο φαμὲν ἀνομίαν εἶναι· τρίτον δὲ, ἐὰν, μὴ ὄντων τῶν νόμων, κατὰ ἔθη καὶ ἐπιτηδεύματα χρηστῶς πολιτεύωνται, καὶ τοῦτο ἀνομίαν προσαγορεύομεν. τῆς ἀνομίας ἄρα ἓν μέν ὄντι νόμοις ἀπαιδεύτοις εἶναι· ἄλλο δὲ, ἐὰν τοῖς οὖσι νόμοις ἐμμένωσι· τρίτον δὲ, ἐὰν ἔθεσι καὶ ἐπιτηδεύμασι χρηστῶς πολιτεύωνται. διαιρεῖται ἡ ἀνομία εἰς τρία· ὧν ἓν μέν ὄντιν, ἐὰν ὦσιν οἱ νόμοι μοχθηροὶ, καὶ τοῖς ξένοις καὶ τοῖς πολί-

πὰ λέγεται, πὰ δ' ἀφεύξιμα. ὥδε καὶ πὰ ἀφῶπα διήρει, καθ' ὃν Ἀριστέλην.

Γέγονε δὲ καὶ ἄλλος Πλάτων φιλόσοφος Ῥόδιος, μαθητὴς Παναιτίου, καθά φησι Σέλβυκος ὁ γραμματικὸς ἐν ἀφῶπῳ περὶ φιλοσοφίας. καὶ ἄλλος, ἀφεπαπτικός, μαθητὴς Ἀριστέλους. καὶ ἕτερος, Περξιφάνους. καὶ ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ ΠΕΡΙ ΒΙΩΝ, ΔΟΓΜΑΤΩΝ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΤΩΝ ΕΝ ΦΙΛΟΣΟΦΙΑ ΕΥΔΟΚΙΜΗΣΑΝΤΩΝ, ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΣΠΕΥΣΙΠΠΟΣ.

ΤΑ μὲν περὶ Πλάτωνος τοσαῦτα ἰσῶς ἐς τὸ δυνατὸν ἡμῖν συναγαγεῖν, φιλοπόνως διειλημφόσι τὰ λεγόμενα περὶ αὐτοῦ ἀνδρός. διεδέξατο δ' αὐτὸν Σπεύσιππος Εὐρυμέδοντος, Ἀθηναῖος. τῷ μὲν δήμῳ Μυρρινούσιος ἦν, ἐξ ἧς ἦν καὶ ἀδελφῆς αὐτῷ Πωτώνης· καὶ ἐσχολαρχησεν ἔτη ὀκτὼ, ἀφ' ἕξάμηνος ἀπὸ τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Χαρίτων τε ἀγάλματα ἀνέθηκεν ἐν τῷ μουσείῳ τῷ ὑπὸ Πλάτωνος ἐν Ἀκαδημίᾳ ἱδρυθέντι. καὶ ἔμεινε μὲν ὅτι τῶν αὐτῶν Πλάτωνι δογμάτων· οὐ μὴν τό γε ἦθος διέμεινε ὅμοιος. καὶ γὰρ ἐρωτικὸς καὶ ἡδονῶν ἥττων ἦν. φασὶ γοῦν αὐτὸν ὑπὸ θυμοῦ τὸ χειρίδιον εἰς τὸ φρέαρ ῥῖψαι· ἢ ὑφ' ἡδονῆς ἦλθεν εἰς Μακεδονίαν ὅτι τὸν Κασσάνδρου γάμον. ἐλέγετο δ' αὐτὸς καὶ αἰ Πλάτωνος ἀκούειν μαθήσεις, Λαοδικία τε ἡ Μαιπνική, καὶ Ἀξιοθέα ἡ Φλιασία. ὅτε καὶ Διονύσιος φησὶν αὐτὸν γράφων πιθανῶς, φησὶ, Καὶ ἐκ τῆς Ἀρκαδικῆς συμαθητείας ἐσὶ τὴν φιλοσοφίαν καταμαθών. καὶ Πλάτων μὲν ἀτελεῖς φόρων τοὺς παρ' αὐτὸν φοιτῶντας ἐποίει· σὺ δ' ἀσυμολογεῖς, καὶ παρ' ἑκόντων καὶ ἀκόντων λαμβάνεις. ὅτι δὲ σοφὸς (καθά φησι Διόδωρος ἐν ἀπομνημονεύμασι

πρόπω) ἐν τοῖς μαθήμασιν ἐθεάσατο τὸ κοινόν, καὶ συνῳκείωσε καθόσον ἐν δυνατὸν ἀλλήλοις· καὶ πρῶτος πῶλον Ἰσοκράτους τὰ καλούμενα ἀπόρρητα δεξιώσεται, ὡς φησι Καικίλιος. καὶ πρῶτος ὕδωρ ἐν τῷ φορμίσκῳ τῶν φευγόντων ὕδωρ κατέσπασεν. ἤδη δ' ὑπὸ πολυλύσεως καὶ τὸ σῶμα διέφθαρτο. καὶ πρὸς Ξενοκράτη διεπέμψατο, πολλάκις αὐτὸν ἐλθεῖν, καὶ τὴν σχολὴν διαδέξασθαι. φασὶ δ' ἐφ' ἁμαξίου αὐτὸν φερόμενον εἰς τὴν Ἀκαδημίαν συναντῆσαι Διονυσίῳ, καὶ Χαῖρε, εἰπεῖν· τὸν δὲ φάναι, Ἀλλὰ μήν σε, ὅστις ὑπομένεις ζῆν τοιοῦτος ὤν. καὶ τέλος ὑπὸ ἀθυμίας ἑκὼν τὸν βίον μετήλλαξε, γηραιὸς ὤν. καί ὅστις ἡμῖν εἰς αὐτόν,

Ἀλλ' εἰ μὴ Σπεύσιππον ἐμαίετον ὧδε θανεῖσθαι,
Οὐκ ἂν ἔπεισέ μέ τις, πόδε λέξας, ὡς ἄρ' ἔλωὸς
Οὐχὶ Πλάτωνι ποδὸς αἵματος· ἡ γὰρ ἀθυμίη
Κάτθανεν αὖ δηρὸν σφόδρα μικρόν.

Πλούταρχος δέ φησιν ἐν τῷ Λυσάνδρου βίῳ καὶ Σύλλα, φθόρον ἐπιζέσαι αὐτόν. ἰῶ δὲ καὶ τὸ σῶμα διακεχυμένος, ὡς φησι Τιμόθεος ἐν τῷ περὶ βίων. οὗτος (φησὶ) πρὸς τὸ ἐρωτικὸν πλάσμα ἀμόρφως, ἔφη, Τί δέ σοι δεῖ τούτου; ἐγὼ γάρ σοι δένδρα καλαίτερα ἀμορφοτέρων εὑρήσω. καταλέλοιπε δὲ πάμπλεισα ὑπομνήματα, καὶ διαλόγους πλείονας· ἐν οἷς καὶ Ἀξίππον τὸν Κυρηναῖον· Περὶ πλούτου, α· Περὶ ἡδονῆς, α· Περὶ δικαιοσύνης, α· Περὶ εὐσεβείας, α· Περὶ φιλοσοφίας, α· Περὶ φιλίας, α· Περὶ θεῶν, α· Φιλόσοφος, α· Πρὸς Κέφαλον, α· Κέφαλος, α· Κλεινόμαχος, ἢ Λυσίας· Πολίτης, α· Περὶ ψυχῆς, α· Πρὸς Γρύλλον, α· Ἀξίππος, α· Τεχνῶν ἔλεγχος, α· ὑπομνηματικοὶ διάλογοι, Τεχνικόν, α· Διάλογοι τῶν περὶ τὴν πραγματείαν ὁμοίων, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι· διαιρέσεις, καὶ περὶ τὰ ὅμοια ὑποθέσεις. Περὶ ἡδονῆς καὶ εἰδώλων καὶ δόγματα· Πρὸς τὸν Ἀριδώπυρον, Πλάτωνος ἐγκώμιον· Ἐπιστολαί·

περὶ Δίωνα, Διονύσιον, Φίλιππον· Περὶ νομοθεσίας, Μαθηματικὸς, Μανδροβούλος, Λυσίας, Ὅροι, Τάξεις ὑπομνημ. στίχοι μ̄, γ̄, δ̄, ο̄, ε̄. περὶ τοῦτον γράφει καὶ Σιμωνίδης τὰς ἱστορίας, ἐν αἷς καταβάλλεται περὶ ξεις Δίωνός τε καὶ Βίωνος. ἐν δευτέρῳ ὑπομνημονευμ. Φαβωρῖνος φησὶν ὡς Ἀριστοτέλης αὐτοῦ τὰ βιβλία περιῶν ἀγαλαίτων ὠνήσατο. γέγονε Σπεύσιππος καὶ ἕτερος, ἰατρὸς Ἡροφίλου Ἀλεξανδρεύς.

ΞΕΝΟΚΡΑΤΗΣ.

Ξενοκράτης, Ἀγαθυμώρου, Καρχηδόνιος· οὗτος ἐκ νέου Πλάτωνος ἤκουσε, καὶ εἰς Σικελίαν αὐτῷ συναπεδήμησεν. ἦν δὲ φύσιν νωθρὸς, ὥστε φασὶ λέγειν τὸν Πλάτωνα, συγκρίνοντα αὐτὸν Ἀριστοτέλει, ᾧ μὲν μώλωπος δεῖ, ᾧ δὲ χαλινοῦ. καὶ, Ἐφ' οἷ ἵππον οἷ ὄνον ἀλείφω; σεμνὸς δὲ καὶ ἀγέλαστος Ξενοκράτης καὶ σκυθρωπὸς ἀεὶ, ὥστε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα, Ξενόκρατες, θύε ταῖς Χάρισι. δημόσιά τε ἐν Ἀκαδημίᾳ ἔπλεῖσα· καὶ εἴποτε μέλλοι εἰς ἄστυ ἀπέναι, φασὶ τοὺς θορυβώδεις πάντας καὶ πορνικοὺς ὑποστέλλειν αὐτῷ τὴν παρόδῳ. καί ποτε καὶ Φρυνίων πρὸ ἑταίραν ἐθελῆσαι περιάσαι αὐτὸν, καὶ δὴ δι' ὠκομολύμβου ὑπὸ ζώνων καταφυγεῖν εἰς τὸ οἰκίδιον. τὸν δὲ, ἕνεκα δ' ἀνθρωπίνου, εἰς δέξασθαι, καὶ ἑνὸς ὄντος κλινιδίου δρομῆσαι μεταδοῦναι τῆς κατακλίσεως· καὶ πόλος πολλὰ ἐκλιπαρῆσαι, ἄωρον αἰσχύνην. λέγειν τε πρὸς τοὺς πυθομένους, ὡς ὑπ' ἀνδρὸς ἀλλ' ὑπ' ἀνδριάντος αἰσχύνη. ἔνιοι δὲ Λαΐδα φασὶ πρόσκαιρον κλίνην αὐτῷ τοὺς μαθητὰς· τὸν δὲ οὕτως εἶναι ἐγκρατῆ, ὥστε καὶ θύμας καὶ καυσὰς πολλάκις ὑπομεῖναι περὶ τὸ αἰδοῖον. διὸ καὶ ἀξιόπιστος σφόδρα· ὥστε μὴ ἔχὸν αὐτῷ μόρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι. καὶ δὴ καὶ αὐτάρκεστατος ἦν. Ἀλεξάνδρου γοῦν συχνὸν ἀργύριον ἀποστείλαντος

αὐτῷ, πεις μλίας Ἀθηναῖς ἀφελών, τ λοιπὸν ἀπέπεμψεν εἰπών, ἐκείνῳ πλειόνων δεῖν πλείστας τρέφοιτο. ἀλλά γ ὑπ' Ἀντιπάτρου πεμφθεὶς μὴ θεραπεύειν, ὡς φησι Μύρωνιανὸς ὁ ἱμθιος. καὶ χρυσῷ στεφανῶ ὑμνθεὶς ἐπ' ἄθλῳ πλυτησίας, τοῖς καταχθο τοῦ Διονυσίῳ ἀξιόπαθεῖαι θεὸς τὸν ἱδρυθέντα Ἑρμοῦν, εἶθα φρ ὑβρίσθαι καὶ τοὺς αἰθίτους εἰκάθει. λοιδορῶν γ αὐτὸν μετὰ καὶ ἄλλων πεμφθεὶς θεοσβυτῶν θεὸς Φίλιππον. καὶ τοὺς μ, δώροις μαλθακιζόμενος, καὶ ἐς τὰς κοινὰς σωτείας καὶ τῷ Φιλίππῳ λαλεῖν· τὸν γ, μηδέπερον τοῦτον πιεῖν. οὕτε γὰρ ὁ Φίλιππος αὐτὸν θεοσπεσῆ δέχεσθαι. ὕστερον ἑλθόντας τοὺς πρέσβεις εἰς τοὺς Ἀθηναίους, φάσκειν ὡς ματέων αὐτῆς Ξενοκράτης σωτελπλύξ. καὶ τοὺς, ἱππίμους εἶ) ζημιοῦν αὐτὸν μαθόντας γ παρ' αὐτοῦ ὡς τῶν καὶ μᾶλλον φρονιστὴν εἶ) τῆς πόλεως αὐτῆς, (τοὺς μὲν γὰρ ἤδη ἐδωροδόκησεν ὁ Φίλιππος, ἐμὲ γ μηδενὶ λόγῳ ἐπαξόμενος) φασὶ δισπασίως αὐτὸν ἁμῆσαι. γ τ Φιλίππου γ λεγόν ὕστερον, ὡς μόνος εἴη Ξενοκράτης τὴν θεὸς αὐτ ἀφημένων ἀδωροδόκητος. διὰ γ πρεσβῶν θεὸς Ἀντίπατρον τοὺς αἰχμαλώτων Ἀθηναίων καὶ τ Δαμακὸν πόλεμον, καὶ κληθὲς ὀπὶ δεῖπνον θεὸς αὐτὸν, θεσσιωνίκατο ταυτί,

Ὦ Κίρκη, τίς γὰρ κεν ἀνὴρ, ὃς ἀναίσιμος εἴη,
Πεῖν τλαίη πάσασθαι ἐδητύος ἢ πτῆσις,
Πεῖν λύσασθ' ἑτάρους καὶ σ' ὀφθαλυῶσιν ἰδέσθαι;

καὶ τὸν, ἀποδεξαμένου τὴν ἀνοχίαν, ἀθῆναι. ὁρωθίου δέ πτε διωκομένου ὑπὸ ἱερέως, καὶ εἰσπηδήσαντος εἰς τοὺς κόλπους αὐτοῦ, καταφήσας μεθῆκε· εἰπὼν τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι. σκωπτόμενος ὑπὸ Βίωνος, οὐκ ἔφη αὐτῷ ἀποκρινεῖσθαι. μηδὲ γὰρ τὴν πρωγωδίαν ὑπὸ τ κωμῳδίας σκωπτομένην ἀποκρίσεως ἀξιοῦν. θεὸς γ τὸν μήτε μουσικὸν, μήτε γεωμετρικὸν, μήτε ἀστρονομίαν μεμαθηκότα, βουλόμενον γ παρ' αὐτοῦ φοιτᾶν, Πο-

ρθύου, ἔφη λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας. οἱ δὲ τοῦτο φασὶν εἰπεῖν, Παρ' ἐμοὶ γὰρ πόκος οὐ κνάπτεται. εἰπόντος δὲ Διονυσίου πρὸς Πλάτωνα ὡς ἀφαιρήσοι τις αὐτοῦ τὸ βάκιλον, παρὼν ἔφη καὶ δείξας τὸν ἴδιον, Οὐκ ἂν γε(ἔφη) τις τοιοῦτον. φασὶ, καὶ Αἰσχίνου ποτὲ ἐλθόντος εἰς Ἀθήνας καὶ ἀσπασαμένου αὐτὸν, μὴ πρότερον αὐτὸν προσαπορρῦσαι πρὶν ἢ τὸν λόγον οὗ ἔλεγε διαπεράναθαι. ἀπορώτατος δὲ ὢν, πολλάκις ἑαυτῷ τῆς ἡμέρας διεμελέτα, καὶ ὥραν μίαν φασὶν ἀπένεμε σιωπῇ. καὶ πλεῖστα ὅσα καταλέλοιπε συγγράμματα καὶ ἔπη, καὶ παραινέσεις· ἃ ὅδε ταῦτα, Περὶ φύσεως, α, β, γ, δ, ε, ς. Περὶ φιλοσοφίας, ς· Περὶ πλούτου, α· Ἀρκάς, α· Περὶ τοῦ ἀοριστου, α· Περὶ τοῦ παιδίου, α· Περὶ ἐγκρατείας, α· Περὶ τοῦ ὠφελίμου, α· Περὶ τοῦ ἐλευθέρου, α· Περὶ θανάτου, α· Περὶ ἑκουσίου, α· Περὶ φιλίας, α, β. Περὶ ὑπομνείας, α· Περὶ τοῦ ἀνανδρου, α, β· Περὶ εὐδαιμονίας, α, β· Περὶ τοῦ χαίρειν, α· Περὶ μιμήσεως, α· Περὶ τοῦ ψεύδους, α· Καλλικλῆς, α· Περὶ φρονήσεως, α, β· Οἰκονομικὸς, α· Περὶ σωφροσύνης, α· Περὶ δυνάμεως νόμου, α· Περὶ πολιτείας, α· Περὶ ὁσιότητος, α· ὅτι σπουδαστὴ ἡ ἀρετὴ, α· Περὶ τοῦ ὄντος, α· Περὶ εἱμαρμένης α· Περὶ τῶν παθῶν, α· Περὶ βίων, α· Περὶ ὁμονοίας, α· Περὶ μαθητοῦ, α, β· Περὶ δικαιοσύνης, α· Περὶ ἀρετῆς, α, β· Περὶ εἰδώλων, α· Περὶ ἡδονῆς, α, β· Περὶ βίου, α· Περὶ ἀνδρείας, α· Περὶ τοῦ ἑνὸς, α· Περὶ ἰδεῶν, α· Περὶ τέχνης, α· Περὶ θεῶν, α, ς· Περὶ ψυχῆς, α, β· Περὶ ὑπομνήμης, α· Πολιτικὸς, α· Περὶ ὑπομνημοσύνης, α· Περὶ φιλοσοφίας, α· Περὶ τῆς Παρμενίδου, α· Ἀρχέδημος, ἢ Περὶ δικαιοσύνης, α· Περὶ ἀγαθοῦ, α· Τῶν πρὸς τοὺς διδύμους, α, β, γ, δ, ε, ς, ζ, η· Λύσις τῶν πρὸς τοὺς λόγους, α, ι· Φυσικῆς ἀκροάσεως, α, β, γ, δ, ε, ς· Κεφάλαιον, α· Περὶ ἰδεῶν καὶ εἰδῶν, α· Πυθαγόρεια, α· Λύσεις, α, β· Διαιρέσεις, η· Θέσεων βιβλία, κ μ γ· Τῆς πρὸς τὸ διαλέγεσθαι

πραγματείας βιβλία ιδ̄, ῡ, ᾱ, β̄, ψ̄, μ̄. μεθ' ὃν βιβλία ιε̄, καὶ ἄλλα βιβλία ις̄. Περὶ μαθημάτων πρὸς τοὺς λέξιν λογικῶν, βιβλία θ̄. πρὸς τοὺς τὰ μαθήματα, βιβλία ε̄. πρὸς τοὺς δόξαν, ἄλλα βιβλία δύο. Περὶ γωνίας πρῶτ, βιβλία ε̄. ὑπομνημάτων, ᾱ. ἀναπόδειτ, ᾱ. Περὶ ἀριθμῶν, ᾱ. Ἀριθμῶν θεωρία, ᾱ. Περὶ διαιρέσεως, ᾱ. Τῶν πρὸς ἀσχολουμένους, ε̄. Στοιχεῖα πρὸς Ἀλέξανδρον, Περὶ βασιλείας, δ̄. Πρὸς Ἀρύβαν, Πρὸς Ἠφαίστιωνα. Περὶ γεωμετρίας, ᾱ, β̄. στίχοι μ̄ χ̄ β̄ δ̄ σ̄ λ̄ θ̄. Ἀθηναῖοι δὲ ὅμως αὐτὸν ὅτε ζῶντα ἐτίμησαν ἀνδριάντος αὐτοῦ χαλκοῦ στῆσαι. καὶ αὐτὸν ὠνείδισε Δημήτριος ὁ Φαληρεύς, καὶ ἑκάτερον ἀπεκάλεσε· Ξενοκράτει μὲν τὴν ἐλευθερίαν, Ἀθηναίοις δὲ τὸ μεμίσιον. τοῦτό φησι Μυρωνιανὸς ὁ Ἁμαστριανὸς ἐν τῷ πρώτῳ τῆς ἱστορικῶν ὁμοίων κεφαλαίων. διεδέξατο δὲ Πολέμωνα, καὶ ἀφηλίκησατο τῆς ὀλυμπιάδος πέμπτῃ καὶ ἑβδόμῃ ἔτει ὑπὸ Λυσιμάχου, ἀρξάμενος τῆς δευτέρας ἐπὶ τῆς δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. ἐτελεύτησε δὲ νυκτὸς, λεκανὴν προσπλάσας, ἔτος ἤδη γεγονὼς δεύτερον καὶ ὀγδοηκοστόν. φασὶ δὲ καὶ εἰς αὐτὸν οὕτως,

Χθιζὴν προσπλάσας λεκανὴν ποτέ, καὶ τὸ μέτωπον
Πλήξας, ἴαχεν Ὦ σώφρονες, εἶτ' ἔθανεν,
Οὗτος πάντα πάντη Ξενοκράτης αἰὴρ μεγάς.

γεγόνασι δὲ καὶ ἄλλοι Ξενοκράτεις ε̄. ὅ, τε ταχυπόδης, ἀρχαῖος σφόδρα· καὶ ὁ συγγενὴς ἅμα καὶ πολίτης τοῦ προειρημένου φιλοσόφου· φέρεται δὲ αὐτοῦ λόγος Ἀριστοτέλους, γεγραμμένος πρὸς Ἀριστόνικον ἀποθανούσης· πέπαρτος, φιλόσοφος, ἐλεγείαν γεγραφὼς ἐν ὀπτυχοῖς. (ἴδιον δέ· πίνακας μὲν τοὺς ὀπτοδαμόθεν πτυχοῖς, ὀπτυχαίοισι· πτυχοῖ δὲ ὀπτὼ δέλτοι ποιητικῇ, πλαίοισι. τοῦ δῆλον, τὸ μὲν φύσεως εἶδος, τὸ δὲ τέχνης ἔργον) πίμπλος, ἀνδριαντοποιός· ἔκτος, ἀσματα γεγραφὼς, ὡς φησιν Δεινόξενος.

ΠΟ.

ΠΟΛΕΜΩΝ.

Πολέμων, Φιλοστράτε μὲν ἦν ὁ ἐκ Λαοδικείας τῆς Φρυγίας, τὸ δὲ γένος Οἰνιάνδεως. νέος δὲ ὢν, ἀκόλαστος τε καὶ διακεχυμένος ἦν οὕτως, ὥστε καὶ προσφέρειν ἀρχὴν ἐλευθέριον τοῖς ἐπιμόνοις λύπαις τῆς ὀπωρινῆς. ἀλλὰ καὶ ἐν τῇ στενοπῷ διέκρυπτεν. ἀλλὰ καὶ ἐν Ἀκαδημίᾳ τοῖς χιονὶ χιονὶ τειχίβολον εὑρέθη τοῖς πεπλασμένον αὐτὸ, διὰ τὴν ὁμοίαν τῇ προειρημένῃ πρόφασιν. καί ποτε σωφρόνως τοῖς νέοις, καὶ ἐστεφανωμένος, μεθύουσι τὴν Ξενοκράτους ἤξε σχολήν. ὁ δὲ, οὐδὲν διαταραχθείς, ἦρε τὸν λόγον ὁμοίως (ἦν δὲ περὶ σωφροσύνης) ἀκούων ἢ τὸ μειρακιῶδες, κατ' ὀλίγον ἐπανορθοῦται καὶ οὕτως ἐγένετο φιλόπονος, ὡς ὑπερβάλλεσθαι τοὺς ἄλλους, καὶ αὐτὸν διαδέξασθαι τὴν σχολήν, ἀρξάμενον ἀπὸ τῆς ἕκτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. φησὶ δὲ Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς βίοις, τὴν πατέρα αὐτοῦ περὶ τόν τε τῆς πλησμονῆς, καὶ ἀφροδισιασμοῦ. φυγεῖν δὲ τὴν Πολέμωνα καὶ δίκην καὶ κόσεως ὑπὸ τῆς γυναικὸς, ὡς μειρακίοις συνόντα. τοσοῦτον δὲ ὑπερῆρε τὸ ἦθος ἀρξάμενον φιλοσοφεῖν, ὥστ' ὑπὸ τοῦτο σχήματος τῆς μορφῆς παντὸς μεμεῖν. ἀλλὰ καὶ τὴν φωνὴν ἀπαλλοίωτος ἦν· διὸ καὶ Θεόφραστος Κεφαλῆτα ὑπ' αὐτοῦ. κωμῳδοῦσι γοῦν λυπῶντος, καὶ τὴν ἰσχνότητα διασαίνοντος, μόνον μὴ ὠχριάσαι· καὶ ταραχὴν νομιζομένης ὑπὸ τοῦ πόλεως, πυθόμενον τὸ γεγονὸς, ἄπρεπτον μεῖναι. ἔν τε τοῖς θεάτροις ἀσυμπαθέστατος ἦν. Νικοστράτου γοῦν ποτὲ, τὸ ὑπὸ καλουμένου Κλυταιμνήστρα, ἀπαγινώσκοντος ἢ ὑπὸ τινὸς αὐτοῦ τε καὶ Κεφαλῆτα, τὸν μὲν συνδιαπράξασθαι, τὴν δὲ ἴσα καὶ μὴ ἀκοῦσαι. καὶ ὅλως ἦν τοιοῦτος ὃς φησὶ Μελάνθιος ὁ ζωγράφος ἐν τοῖς Περὶ ζωγραφικῆς. φησὶ γὰρ δεῖν αὐθάδειαν τινὰ καὶ σκληρότητα τοῖς ἔργοις ὑπερέχειν, ὁμοίως δὲ καὶ ἐν τοῖς ἤθεσιν. ἔφασκε δὲ ὁ Πολέμων δεῖν ἐν τοῖς πράγμασι γυμνάζεσθαι, καὶ μὴ ἐν τοῖς διαλεκτικοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεωρήμασι, καθάπερ ἁρμονικόν τι τέχνιον καταπόντα, καὶ μελετήσαντα· ὡς κἀγὼ μὲν τὴν ἐρώτησιν θαυμάζειν ἔφην, κατὰ δὲ τὴν διάθεσιν ἑαυτοῖς μάχεσθαι. οὕτω οὖν αὐστηρός τις καὶ γλυκαίος, παρηκμηκὼς ἅ φησιν Ἀριστοφάνης περὶ Εὐριπίδου, Ὀξώτας καὶ Σπληνώτας. ἄνθρωπος (ὡς αὐτός φησι) καταπυγοσύνην ζῶν τὰ δεύτερα τῆς κρέας μέγα. ἀλλὰ μὴν οὐδὲ καθίζων ἔλεγε τοὺς τὰς θέσεις, (φασὶ) περιπατῶν δὲ ἐπιχείρει. διὰ δὴ οὖν τὸ φιλογλυκάζον ἐπιμᾶται τῇ πόλει. οὐ μὴν ἀλλὰ καὶ ὀκνηρὸς οὕτω, διατείνων ἐν τῷ κήπῳ, παρ' ὃν οἱ μαθηταὶ μικρὰ καλύβια ποιησάμενοι, κατῴκουν πλησίον τοῦ μουσείου καὶ τῆς ἐξέδρας. ὡς ἐώκει δή, ὁ Πολέμων καὶ πάντα ἐζηλώκει τὸν Ξενοκράτην· καὶ ἐσαθῶσαι αὐτὸν φησὶν Ἀρίστιππος ἐν πέμπτῃ περὶ παλαιᾶς τρυφῆς. ἀεὶ γοῦν ἐμέμνητο ὁ Πολέμων αὐτοῦ, τήν τε ἀκαλλίαν καὶ τὴν αὐχμὸν ἐνδεδύσθαι ταῦτόν καὶ τὸ βαρύ, οἱονεὶ Δωρικός τις οἰκονομία. ἦν δὲ καὶ φιλοσοφοκλὴς, καὶ μάλιστα ἐν ἐκείνοις ὅπου καὶ τὰ κωμικὰ ἐνοικοῦντα ποιήματα αὐτοῦ κοινὸν τὶς ἔδοκει συμποιεῖν Μολοσσικός. καὶ ἔνθα οὗτος (καὶ τὸν Φρυνίχου) οὐ χαῦνος, οὐδὲ ὑπόχυτος, ἀλλὰ βραχύς. ἔλεγε οὖν τὸν μὲν Ὅμηρον, ὅλον εἶναι Σοφοκλέα· Ὅμηρον δὲ, Σοφοκλέα βραχύν. ἐτελεύτησε δὲ γηραιὸς ἤδη ὑπὸ φθίσεως, ἱκανὰ συγγράμματα καταλιπών. καὶ ἔστιν ἐπ' αὐτὸν,

Οὐκ αἰεὶς; Πολέμωνα κεκεύθαμεν, ὃν ἀπὸ τῆσδε
Λαύρεια, τὸ δηνὲς ἀνθρώπων πάθος.
Οὐ μᾶλλον Πολέμωνα, τὸ σῶμα δέ. τοῦτο γὰρ αὖτις
Μέλλων ἐς ἄστρα διαβαίνειν, ἔλιπεν χάμαι.

ΚΡΑΤΗΣ.

ΚΡάτης, πατρὸς μὲν ἦν Ἀνδρίου, Θηβαίου δὲ τὸν δῆμον, καὶ ἀκροατὴς ἅμα καὶ ἐρώμενος Πο-

λεμφίνος. ἀλλὰ καὶ διεδέξατο ἡ σχολὴ αὐτὸν· καὶ ὅπως διήλω ωφελείτω, ὥστε καὶ ζῶντε ὑ μόνον τ αὐτ ἦσην ὁπτηδευμ^χ, διὰ καὶ μέχρι σχεδὸν αἰαπνοῆς ἐκωμοιούθην διλήλοιν, καὶ θανόντε τ αὐτῆς ταφῆς ἐκοινωνείτω. ὅθεν Λυσαγόρας εἰς ἄμφω τὸν τύπον ἐπίησε τὸν ὕθπον,

Μνήματα τῶδε Κεάντα θεοδέα καὶ Πολέμωνα
Ἔννεπε κρύπτεσθαι ξεῖνε παρερχόμενος·
Ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἅπο μῦθος
Ἱερὸς ἤνισεν δαιμονίου στόματος.
Καὶ βίοτος καθαρὸς σοφίας ὅπι θεῖον ἑπόμενοι
Αἰῶνα, σπεπτοῖς δόγμασι πειθόμενος.

ἔνθεν καὶ Ἀρκεσίλαον μεταλθόντα τῶδε Θεοφράστου φασὶν αὐτὸν λέγειν, ὡς εἶεν θεοί τινες ἢ λείψανα τῶν χρυσοῦ γένους. καὶ γὰρ ἦσην οὐ φιλοδημόδης· ἀλλ' οὐδὲ Διονυσόδωρον ποτὲ φασὶ τὸν αὐλητὴν εἰπεῖν, σεμνυνόμενον ὅτι τῷ μηδένα τῶν κρουμάτων αὐτοῦ μήτ' ὄπι πεινήσας, μήτ' ὄπι ψυχρὸν ἀκηκοέναι, καθάπερ Ἰσμηνίου. συνέπιπτον δέ φησιν αὐτῷ ὁ Ἀντίγονος εἰς τῶδε Κεάντα, ὁμοιότροπος συμβιωτὴν τούτων τε καὶ Ἀρκεσιλάου. τὴν μὲν οἴκησιν Ἀρκεσίλαον μὲν ἔχειν μετὰ Κεάντος, Πολέμωνα δὲ μετὰ Κεάντα μετὰ Λυσικλέους ἑνὸς τῶν πολιτῶν. ἦν δ' (φησὶν) ἐρώμενος, Κεάντης μὲν (ὡς ἀναιρηται) Πολέμωνος· Ἀρκεσίλαος δ', Κεάντος. τελευτᾷ δ' ὁ Κεάντης (καθά φησιν Ἀπολλόδωρος ἐν τείτῳ τῶν χρονικῶν) ἀπολιπὼν βιβλία, τὰ μὲν φιλοσοφούμενα, τὰ δὲ τῶν κωμῳδίας, τὰ δὲ λόγους δημηγορικοὺς καὶ παρακελευστικούς. ἀλλὰ καὶ μαθητὰς ἐλλογίμους· ὧν Ἀρκεσίλαον, τὸν οὗ λέξομεν (διήκουσε γὰρ καὶ τούτου) καὶ Βίωνα τὸν Βορυσθενίτην, ὕστερον δὲ Θεοδώρου ἀπὸ τῆς αἱρέσεως ὀπισθοῦμενον· τὸν οὗ καὶ αὐτοῦ λέξομεν ἐχομένως Ἀρκεσιλάου. γεγόνασι δὲ Κεάντες δέκα. πρῶτος, ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής· δεύτερος, ῥήτωρ Τεαλλιακὸς, Ἰσο-

κράτειος· πέμπτος, ζαφειρύγχος, Ἀλεξάνδρῳ συνών· πέμπτος, ὑπνώτης, ὡς ἴου λέγουσιν· πέμπτος, φιλόσοφος περιπατητικός· ἕκτος, Ἀκαδημαϊκός, ὁ θεσπιεργμένος· ἕβδομος, Μανίων, γραμματικός· ὄγδοος, γεωμετρικὸς μεγαφώς. ἔνατος, ὁπτραμμάτων ποιητής· δέκατος, Ταρσεύς, φιλόσοφος Ἀκαδημαϊκός.

ΚΡΑΝΤΩΡ.

Κράντωρ, Σολεύς, θαυμαζόμενος ἐν τῇ ἑαυτοῦ πατρίδι. ἀπῆρε εἰς Ἀθήνας, καὶ ξενικράτους διήκουσε Πολέμωνι συσχολάζων. καὶ καταλιπὼν ὑπομνήματα εἰς μυριάδας στίχων τριῶν· ὧν ἔνια ἔνιοι Ἀρκεσιλάῳ προσάπτουσι. φασὶ δ' αὐτὸν ἐρωτηθέντα πῶς ὑποφθείη ὑπὸ Πολέμωνος, εἰπεῖν, τῷ μήτε ἐξύπερον μήτε βαρύτερον ἀποδοὺς φθεγξάμενον. ἔσχε τοσοῦτον εἰς τὸ Ἀσκληπιεῖον ἀνεχώρησε, κἀκεῖ ἐβιοτάτει. οἱ δ', παραχρῆμα προσῆκεν αὐτῷ, νομίζοντες οὐ δι' ἄγνοιαν, ἀλλὰ βουλόμενον αὐτῷ χολὴν συνῆσαι. ὥστε καὶ Ἀρκεσίλαος, θέλων ἐπ' αὐτῷ συνῆναι Πολέμωνι, καίτοι ἐρωτᾷς, ὡς ἐπὶ τοῦ Ἀρκεσιλάου λέξομεν. ἀλλὰ καὶ αὐτὸν ὑγιαίνοντα διῆκουεν Πολέμωνος· ἐφ' ᾧ καὶ μάλιστα θαυμασθῆναι. λέγεται δὲ καὶ τὴν οὐσίαν καταλιπεῖν Ἀρκεσιλάῳ, ταλάντων οὖσαν δισχιλίων. καὶ ἐρωτηθέντα τοῦ τί αὐτοῦ τὸ βούλεται ταφῆναι, εἰπεῖν,

Ἐν γῆς φίλοις μοχθοῖσι κρυφθῆναι καλόν.

λέγεται δὲ καὶ πιόμενα χάψαι. καὶ ἐν τῇ πατρίδι δὲ τοῦ τῆς Ἀθηνᾶς ἱεροῦ στεφανωθῆναι αὐτόν. καί φησι Θεαίτητος ὁ ποιητὴς ὑπὲρ αὐτοῦ,

Ἡδαίην αὐδρῶπος, ὁ δ' ὀπταλέον ἰῶδαν Μούσης
Κεκράντωρ, καὶ γήρως ἄλυθεν οὔπω θέσσιν.
Σῇ σὺ δ' ἐπειθόμενος πίε νηφόνα αὐδήν.

Ἦ ῥ' ὅ γε καὶ ζώει κεῖθι ἐν ἀθυμίῃ.

ἐθαύμαζε δὲ ὁ Κράντωρ πάντων δὴ μᾶλλον Ὅμηρον καὶ Εὐριπίδην, λέγων ἐργώδες, ἐν τῷ κυκλῳ τραγικῶς ἅμα καὶ συμπαθῶς γράψαι. καὶ φερεφέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου,

Οἴμοι. τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

λέγεται δὲ καὶ Ἀνταγόραν τὸν ποιητὴν, ὡς Κράντορος ἐς ἔρωτα πεπτωκότα φέρεσθαι ταυτί,

Ἐνδοίη μοι θυμὸς, ὅ τοι γλυκὺς ἀμφιβάπτειν,
Ἢ σε θεῶν τὸ φέριστον ἀειγενέων ἔρος εἶπω,
Τῶν ὅσσοις ἔρεβός τε πάλαι βασίλειά τε παῖδας
Γείνατο νύξ, πελάγεσσιν ἐπ' Ὠκεανοῖο ῥοῇσι·
Ἢ σέ γε Κύπριδος ἅμα θέλφρονος, ἠέ σε γαίης
Ἢ ἀνέμων τοῖος σὺ κακὰ φρονέων ἀλάλησαι
Ἀνθρώπων ἠδὲ ἐθηλὰ, τό κε σέο σῶμα διφυές.

λίαν δὲ καὶ ὁ Κράντωρ ὀνοματοποιῶν. τραγῳδὸν γοῦν ἀπελέκων τὸν εἶπεν ἔχειν φωνὴν, καὶ φλοιοῦ μεστὸν. καὶ πῶς ποιητὴν σκίφης μεστοὺς εἶναι τοὺς στίχους· καὶ τὰς Θεοφράστου λέξεις ὀγρέῳ γεγράφθαι. θαυμάζεται δὲ αὐτοῦ μάλιστα βιβλίον τὸ περὶ πένθους. καὶ κατέγραψε πρὸς Πολέμωνα καὶ Κράτητα, ὑδρωπικῇ δὴ θεῷ νοσήσας. καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα,

Ἐπέκλυσε καί σε, Κράντωρ, ἡ νέσσων κακίστη,
Χ' οὕτω κατῆλθες εἰς μέλαιναν Πλουτέως ἄβυσσον.
Καὶ σὺ μὲν ἐκεῖθι νῦν χαίρεις, σῶν λόγων ἅτε
Χήρη ἔσηκεν Ἀκαδημία, καὶ Σόλοι, πατρίς σευ.

ΑΡΚΕΣΙΛΑΟΣ.

Ἀρκεσίλαος, Σεύθου, ἢ Σκύθου (ὡς Ἀπολλόδωρος ἐν πέμπτῳ χρονικῶν) Πιτανάτης τῆς Αἰολίδος· οὗτός ἐστιν ὁ τῆς μέσης Ἀκαδημίας κατάρξας πρῶτος, ὑπομνήματα

lx.iii.

ἀποφάσεις διὰ τὰς ἐναντιότητας τῶν λόγων. πρῶτος δὲ καὶ εἰς ἑκάτερον ἐπεχείρησε, καὶ πρῶτος τὸν λόγον ἐμίμησε τὸν ἐκ τοῦ Πλάτωνος προβεβλημένον· καὶ ἐποίησε δι' ἐρωτήσεως καὶ ἀποκρίσεως εἰσηγητικώτερον. παρέβαλε δὲ Κράντορι τὸν τρόπον τὸν ζῆνα. τέτταρας ἀδελφοὺς ἴδιον ὧν εἶχε, δύο μὲν ὁμοπατρίους, δύο δὲ ὁμομητρίους. καὶ τῶν μὲν ὁμομητρίων πρεσβύτερον Πυλάδην, τῶν δὲ ὁμοπατρίων Μοιρέαν, ὃς ἴδιον αὐτῷ ὄνομα. ἤκουσε δὲ κατ' ἀρχὰς μὲν Αὐτηλύκου τοῦ μαθηματικοῦ, παίπου τυγχάνοντος, πρὶν ἀπαίρειν εἰς Ἀθήνας, μεθ' οὗ καὶ εἰς Σάρδεις ἀπεδήμησεν· ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μουσικοῦ· μεθ' ὃν Θεοφράστου διήκουσεν. ἔπειτα μετῆλθεν εἰς Ἀκαδημίαν πρὸς Κράντορα. Μοιρέας μὲν γὰρ, ὁ πρεσβύτερος ἀδελφός, ἦγεν αὐτὸν ὅτι ῥητορικῶν· ὁ δὲ φιλοσοφίας ἤρα. καὶ αὐτὸς Κράντωρ ἐρωτικῶς διατεθείς, ἐπείθετο, τὰ ἐξ Ἀνδρομέδης Εὐριπίδου πρὸς ἐνεγκάμενος,

Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μή χάριν;
καὶ ὅς· τὰ ἐχθίω σ',

Ἄγου με (ὦ ξένε) εἴπερ δι' ὀφθῆναι θέλεις, εἶτ' ἄλογον. ἐκ τούτου συνήσκησαν ἀλλήλοιν. ἵνα καὶ τὸν Θεόφραστον καινίζοντα φασὶν εἰπεῖν, ὡς ὑφυὴς καὶ ἐπιχειρητικὸς ἀπελαυθὼς τῆς διατριβῆς εἴη νεανίσκος. καὶ γὰρ ἐν τοῖς λόγοις ἐμβριθέστατος καὶ φιλογράμματος ἱκανῶς ἠκούετο, ἔτι δὲ καὶ ποιητικῆς. καὶ αὐτοῦ φέρεται ὀπτογράμματα εἰς Ἄτταλον οὕτως ἔχοντα,

Πέργαμος οὐχ ὅπλοις κλεινὴ μόνον, ἀλλὰ καὶ ἵππις
Πολλάκις αὐδᾶται Πίσαν ἀνὰ ζαθέαν.
Εἰ δ' ὃν οὐκ οἶδ' ἔγωγε θεμιτὸν πατρῷον εἰπεῖν,
Ἔστεται εἰς αὖθις πολλὸν ἀοιδοτέρη.

ἀλλὰ καὶ εἰς Μιλώδωρον τὸν Εὐδάμου ἑνὸς τῶν συγκλητικῶν ἐρώμενον,

Τηλοῦ μὲν Φρυγίη, πολλοῦ δ' ἱερὴ Θυάτιρα,

Ὦ Μιωόδωρε, σὴ πατεὶς Καδαφάδη.
Ἀλλὰ γὸ εἰς Ἀχέροντα, τὸν οὐ φατὸν, ἴσα κέλδυδα,
Ὡς δηνὸς ἀνδρῶν παύπδεν μετρεύμδια.

Σῆμα δέ τοι πόλ' ἔρεξεν ἀελφεαδὲς Εὔδαμος, ᾧ σὺ
Πολλῶν πενεσέων ἦδα θεοφιλέστερος.

ἀπεδέχετο δὲ πάντων μᾶλλον Ὅμηρον, οὗ καὶ εἰς ὕπνον ἰὼν παύτως τὶ αἰενάσκειν. ἀλλὰ καὶ ὀρθρου λέγων ὅτι τὴν ἐρώτημα ἀπέναι, ὁπότ' ἂν βούλοιτο ἀναγνῶναι. τήν τε Πίνδαρον ἔφασκε δεινὸν εἶναι φωνῆς ἐμπλῆσαι, καὶ ὀνομάτων καὶ ῥημάτων ἀπειρίαν παρασχεῖν. Ἴωνα δὲ καὶ ἐλαφρότερον ὤν. διήκουσε δὲ καὶ Ἱππωνίκου τοῦ γεωμέτρου· ὃν καὶ ἔσκωψε, τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χαμαιδῆ, ἐν δὲ τῇ τέχνῃ πεθεωρημένον, εἰπών· τὴν γεωμετρίαν αὐτῷ χάσκοντας εἰς τὸ στόμα ἐμπίπτειν. τῶν καὶ ὠδακόψαντα αἰσχροβῶν οἴκοι, ἐς τοσοῦτον ἐθεράπευσεν, ἐς ὅσον ἀποκατασῆσαι. Κράτητος δὲ ἐκλιπόντος κατέσχε τὴν σχολήν, ἐκχωρήσαντος αὐτῷ Σωκρατίδου τινός. ὅθεν δὲ τὸ περὶ πάντων ἐπέχειν, οὐδὲ βιβλίων (φασὶ) τὶ συγγράψειν. οἱ δὲ, ὅτι ἐφωράθη τινὰ καπρδῶν, ἃ φασιν οἱ μὲν ἐκδοῦναι, οἱ δὲ, κατακαῦσαι. ἔοικε δὴ θαυμάζειν καὶ τὸν Πλάτωνα, καὶ τὰ βιβλία ἐκέκτητο αὐτοῦ. ἀλλὰ καὶ τὸν Πύῤῥωνα, κατά πινας, ἐζηλώκει καὶ τῆς διαλεκτικῆς ἔσχετο, καὶ τῶν Ἐριστικῶν ἥπτετο λόγων. ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ' Ἀρίστωνος,

Πρόσθε Πλάτων, ὄπιθε δ' ὁ Πύῤῥων, μέσσος Διόδωρος·

καὶ ὁ Τίμων ἐπ' αὐτοῦ φησὶν οὕτως,

Τῇ δ' ἔχων Μενέδημος ὑπὸ στέρνοισι μόλυβδον
Θήσεται, ἢ Πύῤῥωνα τὸ παῦ κρέας, ἢ Διόδωρον.

καὶ διαλιπὼν αὖθις ποιεῖ λέγοντα,

Νήξομαι εἰς Πύῤῥωνα, καὶ εἰς κολιὸν Διόδωρον.

ἦν δ' ἀξιωματικώτατος καὶ σωφρονέστατος, καὶ ἐν τῇ λαλιᾷ

lx.iiii.

διαλεκτικὸς τ' ὀνομάζ. ὑποκώφης θ' ἱκανῶς ἢ παῤῥησιαστὴς διὸ καὶ παίζων ὁ Τίμων οὕτως εἶπε περὶ αὐτοῦ,

Καὶ τέων οὐλήσης ὑποπλήξεσιν ἐγκαταμιγείς.

ἔθεν καί τις τῶν ὑπερόπτερον διαλεγόμενον νεανίσκον, Οὐλήψεταί τις, ἔφη, τὸν ἀγκαγάλω; τοῦς δὲ τὴν αἰτίαν ἔχοντα φράζεσθαι, ὡς ἀνέωγεν αὐτῷ ὅπου δεκεῖ ἕτερον ἑτέρου μεῖζον εἶναι, πρώτιστον εἰ οὐδὲ τὸ δεκαδάκτυλον τοῦ ἑξαδακτύλου. Ἤμονος δέ τινος Χίου ἀεισθεὶς ὄντος, καὶ ὑπολαμβάνοντος εἶναι καλοῦ, καὶ ὑπὸ χλανίσιν ἀεὶ ἀναφερομένου, εἰπόντος δ' αὐτῷ σοφὸς ἐφαίνετο; ἔφη, Πότερον ἐὰν σὺ δὲ οὕτω καλὸς ἦς ὡς σοφὸς εἶ, ἂν ἦν καλὰ ἱμάτια ἔχων; ἐπεὶ δὲ καὶ παιδικὰ διδοκιῶν ὡς εἰς βαφεῖον τὸν Ἀρκεσίλαον ἔφη,

Ἔξεις ἐρωτᾶν ποτέ, ἢ σχολὴν ἔχειν;

ἔφη ὑπολαβών, Γεώμ

Τί μοι τεαχεῖα καὶ σὺ εἰθισμένως λαλεῖς;

σωμύλου δὲ ἀγροικους πρόσωπα αὐτῷ παρίχοντος, ἔφη,

Ἀπόλλων' ὁμιλεῖν γίνεται δούλων τέκνα.

λάλου δὲ πολὺ φλυαροῦντος, καὶ πόθεν αὐτὸν χαλεπῶς πυνθανόμενος ἔφη. ζῶσι δὲ καὶ ἀποκρίνεται. τοῦς δὲ τὸ δαψιλὲς καὶ φιλόλογον, εἰπόντα πρὸς ἄγροικον, ἔφη,

Λιθοισι γάρ τοι καὶ αἱμάτων διέξοδοι

Θήλειαν ὄρνιν, πλὴν ὅταν τέκος παρῇ.

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου τοῦ Σοφοκλέους. τοῦς Ἀλεξῖνον τινὰ διαλεκτικὸν, μὴ δυναμένου κατ' ἀξίαν τοῦ Ἀλεξίνου τὸν διηγήσασθαι, τὸ Φιλοξένῳ τοῦς τοῖς πλείοσι τοιαῦτα εἰπεῖν. ἐκεῖνος γὰρ τὰ αὐτοῦ κακῶς ἄδοντας τοῦτοις καταλαβών, αὐτοῖς τοῖς πλήθεσιν αὐτὸν συνεπάτησεν εἰπών, Ὡς ὑμεῖς τὰ ἐμὰ διαφθείρετε, κἀγὼ τὰ ὑμέτερα. ἤχθετο οὖν δή τις μὴ καθ' ὥραν τὰ μαθήματα ἀναλίσκοι. φυσικῶς δέ πως ἐν τῷ διαλέγεσθαι ἔχοντα ὅ,

φημὶ ἐγώ καὶ, Οὐ συγκαταθήσεται τούτοις ὁ δεῖνα ἀπὼν τυγχάνω. ὃ καὶ πολλοὶ τῶν μαθητῶν ἐζήλουν, καὶ τὴν ῥητορείαν καὶ πᾶν τὸ σχῆμα. ἦν δὲ καὶ δύσκολος ἅπασιν ἀδύσχως, καὶ ὅπου τὸ σφικείμενον ἀνενεγκεῖν τὴν πρέπουσαν τῷ λόγῳ, καὶ ἅπαντα συναρμόσασθαι καιρῷ. πιστικός τε γὰρ πανταχοῦ. παρὸ καὶ πλείους πρὸς αὐτὸν ἀπήντων εἰς τὴν σχολήν, καίτοι γε ὀξύτητος αὐτῷ ὑπαρχούσης. ἀλλ' ἕφερον ἡδέως· καὶ γὰρ ἦν ἀγαθὸς σφόδρα, καὶ ἐλπίδων ἐπιπομπὰς τοῖς ἀκούουσιν. ἔν τε τῷ βίῳ κοινωνικώτατος ἐγένετο· καὶ διαφυγεῖν μὲν χάριν ἦν, καὶ λαβεῖν τὴν χάριν ἀπυρόστατος. εἰσελθὼν οὖν ποτε πρὸς Κτησίβιον νοσοῦντα, καὶ ἰδὼν ὑποκάτω θλῖβόμενον, κρύφα βαλαντίον ὑπὸ τίθησι τῷ πρὸς κεφαλαίῳ. καὶ ὃς εὑρὼν, Ἀρκεσιλάου (φησὶ) τὸ παίγνιον. ἀλλὰ καὶ δισμυρίας ἀπέσφλεν. Ἀρχίαν δὲ τὸν Ἀρκάδα Εὐμενὴς σώσας, πολλῆς ἐποίησε τυχεῖν τῆς ἀξίας. ἐλευθέριός τε ὢν καὶ ἀφιλαργυρώτατος εἰς τὰς ἀργυρικὰς δείξεις ἀπήντα πρόθυμος, καὶ ὅτι τὴν Ἀρχεκράτους καὶ Καλλικράτους, τὰς χρησιμωτάτας ἔσωσε μᾶλλον. συχνοῖς τε ἐπῆρκει καὶ σωτηρίζετο. καί ποτε ζητοῦντος ἀργυρώματα λαβόντος εἰς ὑποδοχὴν φίλων, καὶ ἀποστερουμένου, ὅτι ἀπήτησεν, ὑβρισμένου. οἱ δὲ, φασὶν ὅτι τηδὲ χρῆσαι, καὶ ἀποδιδόντες, ἐπεὶ πένης ἦν, χαρίσασθαι. ἦν μὲν οὖν αὐτῷ καὶ ἐν Πιτάνῃ πρεσβυτία, ἀφ' ἧς ἀπέσφλεν αὐτῷ Πυλάδης ὁ ἀδελφός. ἀλλὰ καὶ ἐχορήγει αὐτῷ πολλὰ Εὐμενὴς ὁ τοῦ Φιλεταίρου. διὸ καὶ τούτῳ μόνῳ τῶν ἄλλων βασιλέων προσεφώνει. πολλῶν δὲ καὶ τὸν Ἀντίγονον θεραπευόντων, καὶ ὅτε ἥκοι ἀπαντώντων, αὐτὸς ἡσύχαζε, μὴ βουλόμενος προσεμπίπτειν εἰς γνῶσιν. φίλος τε ἦν μάλιστα Ἱεροκλεῖ τῷ τῆς Μουσικῆς ἔχοντι καὶ τὸν Πειραιᾶ. ἔνθα τὰς ἑορτὰς καλῶν πρὸς αὐτὸν ἐκάστοτε. καὶ δὴ καὶ πολλὰ ἐκείνου συμπείθοντος ὥστε ἀναπλεῦσαι τὸν Ἀντίγονον, ὅτε ἐπιόθη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ ἕως πυλῶν ἐλθὼν ἀνέστρεψε. μετά τε τὴν Ἀντιγόνου ναυμαχίαν πολλῶν πεσόντων, καὶ ὁπλῖται παρακλητικὰ χαράττων, αὐτὸς ἐσιώπησεν. ἀλλ' οὖν ὅμως ὑπὸ τῆς παιδὸς εἰς Δημητριάδα ἐπρέσβευσε πρὸς Ἀντίγονον, καὶ οὐκ ἐπέτυχε. τὸ παῖ δὴ διέπειθεν ἐν τῇ Ἀκαδημίᾳ, πὸν πολέμον ἐκπορίζων. καί ποτε καὶ δὴ καὶ Ἀθηνᾶν ἐν τῷ Πειραιεῖ πρὸς τὰς θέσις λέγειν ἐχρέωσεν, οἰκείως ἔχων πρὸς Ἱεροκλέα. ἐφ' ᾧ καὶ πρὸς ζηνων διεβάλλετο. πλουτεῖν δὲ ἄρα ὤν, (καὶ τί γὰρ ἄλλο ἢ ἕτερος Ἀρίστιππος;) ὅτι τὰ δεῖπνα πρὸς τοὺς ὁμοιοτρόπους μᾶλλον, πλὴν ἀλλ' ἀπίτα. καὶ Θεοδότῃ τε καὶ Φιλαίνῃ τῇ Ἡλείαις ἑταίραις συνῴκει φανερῶς, καὶ πρὸς τοὺς δημοτύρρονας προσεφέρετο τὰς Ἀριστίππου χρείας. φιλομειράκιός τε λίαν καὶ καταφερής. ὅθεν οἱ περὶ Ἀρίστωνα τὸν Χῖον Στωϊκοὶ ἐπεκάλουν αὐτὸν, φθορέα τῶν νέων, καὶ κυναιδολόγον καὶ θρασυὸ ἀποκαλοῦντες. καὶ γὰρ καὶ Δημητρίου τοῦ πολιορκητοῦ εἰς Κυρήνην, ὅτε πλέον ἐφιλοσόφει λέγεται, καὶ Λεωχάρους τοῦ Μυρλεανοῦ. ἐφ' ᾧ καὶ πρὸς τοὺς κωμάσαντας εἰπεῖν, αὐτὸς μὲν θέλειν αἰσχῦναι, ἐκεῖνον δὲ διακωλύειν. τοῦτο δ' ἦρων καὶ Δημοχάρης ὁ Λάχητος καὶ Πυθοκλῆς ὁ τοῦ Βουκόλου· οἷς καταλαβών, ἐπ' αἰσχύνῃ μᾶλλον ἀναχωρεῖν ἔφη. διὰ ταῦτα δὴ οὖν ἔδακνόν τε αὐτὸν οἱ περιπατητικοὶ καὶ ἐπέσκωπτον, ὡς φίλοχλον καὶ φιλόδοξον. μάλιστα δὲ ἐπετίθεντο αὐτῷ διὰ Ἱερωνύμῳ τῷ περιπατητικῷ, ὅτε σωζόμενοι τοὺς φίλους εἰς τὴν Ἀλκυονέως τοῦ Ἀντιγόνου οἰκίαν, εἰς ἣν ἐκαλέσθησαν, εἰς ἀπίστειλεν ὁ Ἀντίγονος πρὸς ἀπόλαυσιν. ἔνθα δὴ παραθύμως ἑκάστοτε τὰς ὀπτικωλικίους ἐξηγήσεις μὴ πρὸς ἀξιόλογόν τι θεώρημα, καὶ ἀξιοῦντάς τι αὐτὸ λέγειν φάσκειν, ἀλλ' αὐτὸ τοῦτο μάλιστα φιλοσοφίας ἴδιον, τὸ καιρὸν ἑκάστων ὁπίσασθαι. εἰς ἣν τὸ διαβαλλόμενον αὐτῷ φίλοχλον καὶ Τίμων τά τε ἄλλα φησὶν, ἁπαρ δὴ πᾶσιν τ' ἔπος

Ὡς εἰπὼν, ὄχλοιο θείσαν εἰς κατέδυσεν.
Οἱ δὲ μιν ἡΰτε γλαῦκα θεσπίζα, περὶ πῶ τὸ
Ἠλέματιν δεκνώτες. ὄθι σώεκεν ὀχλοφορέσκης
Οὐ μέγα θρῆγμα θάλας τί πλατύνεαι, ἁλίθιος ὤν;

οὐ μὴν ἀλλ' οὕτως ἄτυφος ἦν, ὥστε τοῖς μαθηταῖς παρήνει καὶ ἄλλων ἀκούειν. καί τινος Χίου νεανίσκου μὴ ἀρεσκομένου τῇ διατριβῇ αὐτοῦ, ἀλλ' Ἱερωνύμου δὲ τοῦ Ῥοδίου, αὐτὸς ἀπαγαγὼν συνίστησι τῷ φιλοσόφῳ, παραινέσας ἀκροᾶσθαι. χαίρειν δ' αὐτῷ φέρεται καὶ κεῖνος τοῦς τὴν πυθόμενον δι' ὅ, τι ἐκ μὴ τῶν ἄλλων μεταβαίνουσιν εἰς τὸν Ἐπικούρειον, ἐκ δὲ τῶν Ἐπικουρείων οὐδέποτε· ἔφη, Ἐκ μὲν γὰρ ἀνδρὸς γάλλοι γίνονται, ἐκ δὲ γάλλων ἄνδρες οὐ γίνονται. λοιπὸν δὲ, τοῦς τῷ τέλει γνόμους ἅπαντα καταλιπὼν Πυλάδῃ τῷ ἀδελφῷ τὰ αὐτοῦ· αὐτὸς δὲ ὢν ἐς Χῖον αὖθις τοῦς ἦγε τὸν Μοιρέαν λαθὼν, κἀκεῖθεν εἰς Ἀθήνας ἀπῆγε. τοῦς δὲ οὔτε γνώριον ἐπηγάγετο, οὔτε ἐπαγδαποιήσατο. τρεῖς τε διαθήκας ποιησάμενος ἔθετο, τὸν μὲν ἐν Ἐρετρίᾳ, τοῦς Ἀμφίκριτον· τὸν δὲ Ἀθήνῃσι, τοῦς τινας τῶν φίλων· τὸν δὲ τρίτον αὖθις ἀπέστειλεν εἰς οἶκον, τοῦς Θαυμασίαν ἕνα τινὰ τῶν ἀναγκαίων, ἀξιώσας διατηρῆσαι· τοῦς ὃν καὶ χρᾶφει ταῦτα,

Ἀρκεσίλαος Θαυμασίᾳ χαίρειν.

Δέδωκα διαθήκας ἐμαυτὸν κομίσαι τοῦς σέ· διὰ γὰρ τὸ πολλάκις ἀῤῥωστεῖν, καὶ τὸ σῶμα ἀσθενὲς ἔχειν, ἔδοξέ μοι διαθέσθαι, ἵν' εἴ τι γένοιτο ἀλλοῖον, μήτε σε ἀδικηθῆναι, τὸν εἰς ἐμὲ ἐκτενῶς οὕτω πεφιλοτιμημένον. ἀξιοπιστότατος δὲ αἰεὶ τ' ἀνθρώπων σύ μοι τηρῶν αὐτὰ, διά τε τὴν ἡλικίαν καὶ τὴν τοῦς ἡμᾶς οἰκειότητα. πειρῶ οὖν, μεμνημένος διότι σοι πίστιν τὴν αἰσχίστην τῶν διαθηκῶν κατέθεμαι, δίκαιος ἡμῖν εἶναι, ὅπως ὅσον ὀφείλεται σοι τὰ κατ' ἐμὲ ἀχνύμενος ἢ μοι διώκημένα. κεῖνται δὲ Ἀθήνῃσιν

αὐτὰ δὲ ἐστὶ τὰ γραφόμενα, καὶ ἐν Ἐρετρίᾳ παρ' Ἀμφικράτῃ.

ἐπελθόντα δ' (ὥς φησιν Ἕρμιππος) ἄκρατα ἐμφορηθῆς πιεῖν, καὶ φλεγμήνας, ἅμα γεγονὼς ἐπὶ πέμπτῃ καὶ ἑβδομηκοστῇ, ἀπέλιπεν παρ' Ἀντιγόνῳ ὡς ἰατρός. ἔστι καὶ εἰς πόπτην γράμμα,

Ἀρκεῖλαι τί μοι, τί τοσοῦτον ἄκρητον ἀρείδων
Ἔσπασας ὥστε φρενῶν ὀκτὰς ἕλκεσθαι ἐόντι;
Οἰκτίρω σ' οὐ πάντα τὰ πάντες, ἀλλ' ὅτι μοῦσας
Ὕβρισας, καὶ μυστὶν ἐνεσκύμνους κύλικι.

γέγραπται δὲ καὶ ἄλλοι πρὸς Ἀρκεσίλαον πικραὶ ἐφυμνίδες· ἄλλος, ἐλεγείας· ἔπεσιν, ἀγαλματοποιός, εἰς ὃν καὶ Σιμωνίδης ἐπίγραμμα ἔγραψε, τοῦτο,

Ἀρτέμιδος πρὸς ἄγαλμα. διπλόαν γὰρ ὁ μισθὸς
Δραχμὰς τὰς Πάριος, τὴν ὀπίσω κέρσας.

Ἀσκητὴς δ' ἐπίγραμμα Ἀντιγόνῃ παλάμῃσι
Ἄξιος Ἀρκεσίλας ἐς Διὸς ὀφθαλμόν.

ὁ δὲ θεσπεσιμῦθος φιλόσοφος (καθά φησιν Ἀπολλόδωρος ὁ χρονικός) ἤκμαζε περὶ τὴν εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα.

ΒΙΩΝ.

Βίων, τὸ μὲν γένος ὢν Βορυσθενίτης, ὡς φησιν ὁ γράψας αὐτὸν ἀπὸ οἵων πορισμῶν ἦλθεν ἐπὶ φιλοσοφίαν, αὐτὸς Ἀντιγόνῳ διεσάφει. ἐρωτῶντι γάρ αὐτὸν,

Τίς; πόθεν εἰς ἀίδαο; τίνα σοι πόλις ἠδὲ τοκῆες;

αἰδοῖος ὅπου πορφυρίζεται, φησὶ πρὸς αὐτὸν, Ἐμοὶ μὲν πατὴρ μὲν ἦν ἀπελεύθερος, τὸ ἀγχῶνι δεσμωτούμενος, (διεδίδου δὲ τὸν πορισμὸν) γένος Βορυσθενίτης, ἔχω δὲ οὐδέποτε, ἀλλὰ συγχωρῶ ὅτι τῷ πορισμῷ, τὸ δὲ δικαίου πατρίας σύμβολον. μήτηρ δέ μοι ἡ τυχοῦσα αὐ

γήμαι, ἀπ' οἰκήματος. ἔπειτα ὁ πατὴρ ὠδῖνι τελωνησάμενός τι, παροίκιος ἐωρᾶθη μοὶ ἡμῖν. καί με ἀγορεύει ὡς ῥήτωρ νεώτερον ὄντα καὶ δύχαειν· ὃς ἢ ἀποθνήσκων κατέλιπέ μοι πάντα. κἀγὼ κατακαύσας αὐτοῦ τὰ συγγράμματα καὶ πάντα συγξύσας, ἀθλιώτερος ἦλθον καὶ ἐφιλοσόφησα,

Ταύτης τοι γλυκερῆς τε καὶ ἀμάτου δύχομαι εἶδος.

ταῦτά ὅσι τὰ κατ' ἐμέ. ὥστε παυσάμενοι Περσαῖός τε καὶ Φιλωνίδης ἰσορροποῦντες αὐτά· σκόπει δὲ μὴ ἐμαυτοῦ. καὶ ἰδοὺ ὡς ἀληθῶς ὁ Βίων τὰ μὲν ἄλλα πολύτροπος καὶ σοφιστὴς ποικίλος, καὶ πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθηπτάζεσθαι φιλοσοφίας· ἔνθεν ὁ καὶ πύθμος, καὶ ἀπολαῦσαι τύφου δυνάμενος. πλεῖστά τε καταλέλοιπεν ὑπομνήματα, ἀλλὰ καὶ ἀποφθέγματα χρειώδη πραγματείαν ἔχοντα. οἷς, ὀνειδιζόμενος ὅτι τῷ μὴ θησάμενος μισθόν, οὐχ οἷόν τε εἶπεῖν ἁπαλὸν τυρὸν ἀγκίστρῳ ὁπτᾶσθαι. ἐρωτηθείς ποτε πῶς μᾶλλον ἀγωνιᾷ, ἔφη, ὁ τὰ μέγιστα βουλόμενος ἁμαρτεῖν. ἐρωτηθεὶς εἰ γήμαι (αἰσθάνεται γὰρ καὶ τοῦτο εἰς αὐτὸν ἔφη) Ἐὰν μὲν γήμῃς αἰσχρὰν, ἕξεις ποινήν· ἂν δὲ καλὴν, ἕξῃς κοινήν. τὸ γῆρας ἔλεγε λιμένα τῶν κακῶν· εἰς αὐτὸν γοῦν πάντα καταφεύγειν. πῶς δέξαι, ἔφη, μητέρα εἶδος. τὸ κάλλος, ἀλλότριον ἀγαθόν· τὸν πλοῦτον, νόσος πραγμάτων. ὡς τὸν τὰ χοῖρα κατεσθίοντα, Τὴν μὲν ἀμφιάρεσον (ἔφη) ἡ γῆ κατέπιε, σὺ δὲ τοὺς χοίρους. μέγα κακὸν, τὸ μὴ δύνασθαι φέρειν κακόν. κατεγίνωσκε δὲ καὶ τῶν τοὺς ἀνθρώπους καταγόντων μὲν ὡς ἀναισθήτους, καταγόντων δὲ ὡς ἀθανατιζόντων. ἔλεγε δὲ συνεχὲς ὅτι αἱρετώτερόν ἐστι τὴν ὥραν ἄλλῳ χαρίζεσθαι, ἢ ἀλλοτρίας ἀποδρέπεσθαι. καὶ γὰρ εἰς σῶμα ἐλάττεσθαι καὶ εἰς ψυχήν. ἐλέγετο δὲ καὶ τὸν Σωκράτους, λέγων, ὡς εἰ μὲν εἶχεν Ἀλκιβιάδου χρείαν, καὶ ἀπεῖχετο, μάταιος ἦν· εἰ δὲ

μὴ εἶχεν, οὐδὲν ἐποίει παράδοξον. εὔκολον ἔφασκε τὴν εἰς ᾅδου ὁδόν. καταμύοντας γοῦν ἁπάντας. τὸν Λαμβιάδην μειρόμενος ἔλεγεν, ὡς νέος μὲν ὢν, τοὺς ἄνδρας ἁπάντων τῶν γυναικῶν· νεανίσκος γὰρ ἡγούμενος, τὰς γυναῖκας τῶν ἀνδρῶν. ἐν Ῥόδῳ τὰ ῥητορικὰ διδάσκοντι τῶν Ἀθηναίων, τὰ φιλοσοφούμενα ἐδίδασκε. πρὸς οὖν τὸν αἰτιασάμενον ἔφη, Πυροὺς ἐπόμισα, καὶ κριθὰς πωλῶ. ἔλεγε δὲ τοὺς ἐν ᾅδου μᾶλλον αὐτὸν κολάζεσθαι εἰ ὁλοκλήροις καὶ μὴ τετμημένοις ἀγγείοις ὑδροφόρουν. πρὸς τὸν ἀδολέσχην, λιπαροῦντα συλλαβέσθαι αὐτῷ, Τὸ ἱκανόν σοι πιόντα (φησὶν) ἐστὶ σφηκιὴν πέμψης, καὶ αὐτὸς μὴ ἔλθῃς. πλέων μετὰ πυρρῶν, λιμοῦ γενομένου, ἐπεύξατο. τοὺς γὰρ, Ἀπολώλαμεν, εἰ πύρρας, ἐστὶ γνωσθῶμεν· Ἐγὼ δὲ, (φησὶν) ἐστὶ μὴ γνωσθῶμεν. τοὺς γάρ εἶπόν ἔλεγε πρὸς κοπῆς ἐγκοπήν. πρὸς πλούσιον μικρολόγον, Οὐχ οὗτος (ἔφη) τοὺς οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον. ἔλεγε τοὺς μικρολόγους, τῶν μὲν ὑπαρχόντων ὡς ἰδίων ὀπτμελεῖσθαι· ὡς γὰρ ἀλλοτρίων, μηδὲν ὠφελεῖσθαι. τῇ μὲν αἰδοῖ νέους ὄντας ἔφη χρῆσθαι, τῇ γὰρ φρονήσει γηράσκοντας ἀκμάζειν. τοσοῦτον διαφέρειν τοὺς φρόνησιν τῶν ἄλλων ἀρετῶν, ὅσον τοὺς ὄψεσιν τῶν ἄλλων αἰσθήσεων. μὴ δεῖν ἔφασκεν ὀνειδίζειν τὰ γήρας, Εἰς ὃ (ἔφη) πάντες ἐρχόμεθα ἐλθεῖν. πρὸς τὸν βάσκανον ἐσκυθρωπακότα, Οὐκ οἶδα (ἔφη) πότερόν σοι κακὸν γέγονεν ἢ ἄλλῳ ἀγαθόν. τοὺς δυσπέψειαν πονηρὸν ἔλεγεν εἶναι οἰκοῦρον τῇ παῤῥησίᾳ·

Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύστομος ᾖς ἦ.

τοὺς φίλους, οἱοῖοι ἂν ὦσι, σωτηρεῖν· ἵνα μὴ δοκοίημεν πονηροῖς κεχρῆσθαι, ἢ χρησοὺς παρῃτῆσθαι. τοῦτ' τοὺς ἀρχὴν μὲν παρῄτεῖτο τὰ Ἀκαδημαϊκὰ, καθ' ὃν χρόνον ἤκουε Κράτητος· εἶτ' ἀνείλετο τοὺς Κωτίλου ἀρχήν, λαβὼν πείθωνα καὶ πίθανον, καὶ τί γὰρ ἄλλοι μετεσκεύασεν αὐτὸν πρὸς ἅπαντα. ὅπου τὰ Θεοδώρεια μετῆλθε, δι-

ακούσας Θεοδώρου τοῦ ἀθέου καὶ παῖ εἶδος λόγου σοφιστεύον
τος. μὲν ὧν Θεοφράστου διήκουσε τοῦ περιπατητικοῦ. ἐν δὲ
καὶ θεατρικὸς, καὶ πλεῖ ἐν τῷ μεταίῳ διαφορῆσαι, φορτι-
κοῖς ὀνόμασι καὶ τῶν σχημάτων χρώμενος. διὰ δὴ οὖν
τὸ παντὶ εἴδει λόγου κεκρᾶσθαι, φασὶ λέγειν ἐπ' αὐτῷ τὸν
Σεραπίωνα, ὡς περὶ τοῦ Βίωνι τὴν φιλοσοφίαν αἰθιναὶ
ἐπέδυσεν. ἄφυκτος γὰρ ἐν καὶ παρῳδῆσαι· οἷα ὄζειν αὐτὸ
καὶ ταῦτα,

Ὦ πέπον Ἀρχύτα, ψαμμηγενὲς, ὀλβιόσοφε,

Τῆς ἐτεάτης ἔμπειρός τ' ἀνθρώπων.

καὶ ὅλως καὶ μουσικὸν καὶ γεωμετρίαν διέπαιζεν. ἐν δὲ
πλουτεῖν· καὶ διὰ τὸ πολίτην ὄντα πόλεως ἤμελεν, ἐνίοτε
καὶ φαντασίαν ὑπεχώρησε. ἐν γοῦν Ῥόδῳ τοὺς ναύτας
ἔπεισε σχολαστικὰς ἐθῆτας ἀναλαβεῖν, καὶ ἀκολουθῆσαι
αὐτῷ. σὺν οἷς ἐσβάλλων εἰς τὸ γυμνάσιον, περιβλέπεσθαι ἐν
ἐώθει τε νεανίσκων ὄχλων ἡδονῆς πεπλῆσθαι, καὶ εἰς τὸ
ὑποχεῖσθαι αὐτοῖς ἔς τε τὰς ἡδονὰς, καὶ ὥστε φυλάττε-
σθαι ὑπ' ἀνοίας αὐτῶν. ἀλλὰ καὶ φίλαυτος ἐν ἰσχυ-
ρῶς, καὶ πολὺς ἐγκείμενος τῷ Κοινὰ τὰ φίλων. παρ' ὃ καὶ
οὐδεὶς μαθητὴς αὐτοῦ ὑπεχάφετο, σοσούτων αὐτῷ σχολα-
σάντων. καίτοι γυναῖς εἰς αἰσχημοσύνας περιῆλθε. ὁ γοῦν
Βιτίων, εἷς τῶν σωμήθων αὐτῷ, περὶς Μενέδημον πρὸ λέ
γεται εἰπεῖν. Ἔχρῆν σοι, (ὦ Μενέδημε) νύκτωρ συνδέσθαι
Βίωνι· ἢ οὐδὲν ἄτοπον δοκῶν πεπονθέναι. πολλὰ δὲ καὶ
ἀθεώτερον περιεφέρετο εἰς ὁμιλοῦσι, περὶ Θεοδώρειον
ἀπολαύσας. καὶ ὕστερόν ποτε ἐμπεσὼν εἰς νόσον, (ὡς ἔφα-
σκον οἱ ἐν Χαλκίδι· αὐτόθι γὰρ καὶ κατέτρεψε) περιαπλα λα
βεῖν ἐπιόθη, καὶ μεταγινώσκειν ἐφ' οἷς ἐπλημμέλησεν
εἰς τὸ θεῖον. ἀποθανὼν δὲ καὶ τῶν νοσοκομούντων δεινῶς διε
θεὸς Ἀντίγονος αὐτῷ δύο θεράποντας ἀπέστελε. καὶ
ἠκολούθει γε αὐτῷ ὁν φορείῳ, καθά φησι Φαβωρῖνος ὁν
παιδαπῇ ἱστορίᾳ. ἀλλὰ καὶ ὡς κατέτρεψε, καὶ ἡμεῖς

αὐτὴν οὕτως ὑπασάμεθα,
Βίωτα τὴν Βουνοθετίτιν,
Ὃν ἔφυτεν ἡ Σκυθὶς αἶα,
Λέζῃ ἀκούοιμι θεοῖς
Ὡς οὐδέν εἰσιν ὄντως.
Κἰμὲν τὸ δόγμα τοῦτ' ἔχων
Ἔμιμνεν, ὡς αἰεὶ κὸς
Λέζῃ, φρονεῖν ὅπως δοκεῖ.
Κακῶς μὲν, ἀλλ' ἔδοξε.
Νῶν δ' ἐς τόσον ποσὶ μαφαὶ,
Καὶ μὴ φάνη δεδοικώς,
Ὁ μὴ θεοὺς εἴη λέγων,
Ὁ νηὸν οὐδὲ βλέψας,
Ὁ πολλὰ χλωράσας βροτοὺς,
Οἷσφ θεοῖς ἔδοσαν,
Οὐ μοῦνον ἐχάρης ἔσφ,
Βωμῷ τε καὶ πρακτῆρι,
Κτίσῃ, λίπει, θυήμασι,
Θεοὺ ἔδαισε ῥῖνας·
Οὐδ' εἶπε μοῦνον, Ἤλιπον,
Σύγγνωτε τοῖς πρὶν ἀλλὰ
Καὶ χαὶ δοῦναι ἁμαρτὰς
Τεκμήλιον εἰς ἑπτάδιον
Καὶ σκυτίσιν βεκχίοιας
Πεπισμένος ἔδησε·
Γάμου τε καὶ κλάδου δάφνης
Ὑσφ' ὅρκῳ ἔθηκεν.
Κπασπα μᾶλλον, ἢ θανεῖν,
Ἕτοιμος ὢν ἐπομνύειν.
Μωρὸς δ' ὃς ἂν θελήσῃ τὸς
Μισθοῦ τὸ θεῖον ᾖ,
Ὡς ὧδε θεοὺς ὄντως ὁτῶν

Βίων

Βίων θέλη νομίζειν.
Τοιγὰρ μάτην φρονῶν, ὅτ' ἰῶν
Ἅπας ὁ λέμβος ἀνθρακῖς,
Τὴν χεῖρα τείνας, ὧδέ πως,
Χαῖρ' εἶπε, χαῖρε Πλουτεῦ.

σὺ οὐχ ὁρᾷς. ὁπηνίκα δ' ἐσυκοφαντεῖτο ἐν τῇ Ἀθήναις, (μανθάνω γὰρ καὶ τοῦτο) Μέναιδρος ὁ κωμικὸς παρ' ὀλίγον ἦλθε κρίνεσθαι δι' οὐδὲν ἄλλο ἢ ὅτι φίλος ἦν αὐτῷ· ἀλλ' αὐτὸν παρετήσατο πλεονάκις ὁ αἰγιαλὸς τῷ Δημητρείου. πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ σίγων ἡδὺν ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν πεπαιδευκότας, ἀπαίδευτος ὢν καὶ πολύπειρος παροιμιῶν· ὧν ὅσα μὲν, ἰσοστάσια καὶ ἴσα, πολλαπλάσια· τὰ δὲ, ὑπερπλήρη· τὰ δὲ, ὑπερτελῆ· δημηγορικῶν τε καὶ προσβευτικῶν. ἀλλὰ μὴν καὶ λόγων δίσωτείων συναγωγαί, καὶ ἄλλα πλείω. ἔστι δὲ, τὰ Περὶ τῆς Ἀθηναίων νομοθεσίας, α, β, γ, δ, ε· Περὶ τῆς Ἀθηναίων πολιτείας, α, β· Περὶ δημαγωγίας, α, β· Περὶ πλοκῆς, α, β· Περὶ νόμων, α· Περὶ ῥητορικῆς, α, β· Σπαρτηχῶν, α, β· Περὶ Ἰλιάδος, α, β· Περὶ Ὀδυσσείας, α, β, γ, δ· Πτολεμαΐδος, Ἐρωτικός, α· Φαιδώνδας, α· Μαίδων, α· Κλείων, α· Σωκράτης, α· Ἀεισόμαχος, α· Ἀρταξέρξης, α· Ὁμηρικός, α· Λεπτίδης, α· Προβλητικός, α· Ὑπὲρ τῆς πολιτείας, α· Περὶ τῆς δεκαετίας, α· Περὶ τῶν Ἰώνων, α· Προσβευτικός, α· Περὶ πίστεως, α· Περὶ χαλεπῆς, α· Περὶ τύχης, α· Περὶ μεγαλοψυχίας, α· Περὶ γάμου, α· Περὶ τοῦ δεκοῦ, α· Περὶ εἰρωνείας, α· Περὶ νόμων, α· Περὶ ὀπτιδευμάτων, α· Περὶ καιροῦ, α· Διονύσιος, α· Χρηματικός, α· Ἀθηναίων καταδρομή, α· Περὶ Αἰσχίνου, α· Προοίμιον ἰστορικόν, α· Ἐπιστολαί, α· Ἐκκλησία ἔνορκος, α· Περὶ γήρως, α· Δίκαια, α· Λίσωπείων, α· Χρημάτων, α. Χαρακτὴρ δὲ φιλόσοφος, δυσὶ ῥητορικῇ καὶ δυσὶ μέτροις κεκραμένος. ἔοικε, ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ κατέσπασαν Ἀθηναῖοι, Ἀλλ' οὐ τιμὴ φέρει τιμὴ, ἔφη, δι' ἣν ἐκείνας αἰέσησαν. ἔλεγε μὴ μικρὸν εἶναι μέρος τὰς ὄψεις ἔλαττον ὁρᾶν ὅτι σκοπὸς δυσάλωτος τῷ βίῳ. οὐ μόνον τὸν πλοῦτον ἔφη τυφλὸν, ἀλλὰ καὶ τὴν ὀδηγοῦσαν αὐτὸν τύχην. ὅσον ἐν πλέμῳ δυσάλωτον σίδηρον, ὃ-

τοδπην ἐν πολιτείαις ἰσχύειν λόγον. ἰδών ποτε νεανίσκον ἄσωτον, Ἰδού, ἔφη, πτεράγωνος Ἑρμῆς, ἔχων σύρμα, κοιλίαν, αἰδοῖον, πώγωνα. τῶν τετυφωμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν ταπεινοῦν, τὸ δὲ φρόνημα καταλιπεῖν. τοὺς νέους ἔφη δεῖν, ὅπου μὲν τῆς οἰκίας τοὺς γονεῖς αἰδεῖσθαι· ἐν δὲ ταῖς ὁδοῖς, τοὺς ἀπαντῶντας· ἐν δὲ ταῖς ἐρημίαις, ἑαυτούς. τοὺς φίλους ὅπου μὲν τὰ ἀγαθὰ τρόπον καλουμένους ἀπέναι, ὅπου δὲ ταῖς συμφοραῖς, αὐτομάτους. τοσαῦτα καὶ εἰς τοῦτον διαφέρεσθαι δοκεῖ. γεγόνασι δὲ Δημήτριοι ἀξιόλογοι εἴκοσι· τρεῖς, Καρχηδόνιος, ῥήτωρ, καὶ Θερσυμάχου πρεσβύτερος· δεύτερος, αὐτὸς οὗτος· τρίτος, Βυζάντιος Περιπατητικός· τέταρτος, καλούμενος γραφικός, καὶ σαφὴς διηγήσασθαι· (ἦν δὲ καὶ ὁ αὐτὸς ζωγράφος) πέμπτος, Ἀσσίνδιος, μαθητὴς Ἀπολλωνίου τοῦ Σολέως· ἕκτος; Καλαθιανός, ὁ γεγραφὼς τοὺς Λύσιας καὶ Εὐρώπης εἴκοσι βίβλους· ἕβδομος, Βυζάντιος, ὃν τρισκαίδεκα βιβλίοις γεγραφὼς τὴν Γαλατῶν διάβασιν ἐξ Εὐρώπης εἰς Ἀσίαν, καὶ ἐν ἄλλοις ὀκτὼ τὰ περὶ Ἀντίοχον καὶ Πτολεμαῖον· καὶ τὴν Λιβύης ὑπ' αὐτῶν διοίκησιν· ὄγδοος, ὁ διατείνας ἐν Ἀλεξανδρείᾳ Ὀφιστής, τέχνας γεγραφὼς ῥητορικάς· ἔνατος, Ἀδραμυττηνὸς, γραμματικὸς, ὁπλισθεὶς Ἰξίων, διὰ τὸ ἀδικῆσαί τι δοκεῖν περὶ τὴν Ἥραν· δέκατος, Κυρηναῖος γραμματικὸς, ὁ ὁπλισθεὶς Σπάμνος, ἀνὴρ ἀξιόλογος· ἑνδέκατος, Σκήψιος, πλούσιος καὶ ἀγχίνους ἀνήρ, καὶ φιλόλογος ἄκρως· (οὗτος καὶ Μητροδώρου τοῦ βιβάσαντος τὸν πλάτανον) δωδέκατος, γραμματικὸς, Ἐρυθραῖος, πλὴν γεγραφηθεὶς ἐν Τήμνῳ· τρισκαιδέκατος, Βιθυνὸς Διφύλου τοῦ Σπωϊκοῦ υἱὸς, μαθητὴς δὲ Παναιτίου τοῦ Ῥοδίου· τεσσαρεσκαιδέκατος, ῥήτωρ Σμυρναῖος. καὶ οὗτοι μὲν, λογικοί. πίνακα δέ, τρόπος, ἀρχαίαν κωμῳδίαν πεποιηκώς·

δεύτερος ἐπῶν ποιητὴς, οὗ μόνα σώζεται τοὺς τοὺς φορεσ-
μοὺς εἰρημένα τάδε,

Ζωὸν ἀπημάσαντες, ἀπεφθίμεθα πρόσθεν.
Καί ποθ' ὑφ' τύμβοιο καὶ ἀπόνα εἰδώλοιο
Ἄστεα νεῖσθαι ἐπῆλθεν, ἵεν δ' ἐσήσατο λαός.

πεῖσος, Ταρσικός, σατυρογράφος· πέπαρπε, ἰάμβους γεγρα-
φώς, πικρὸς αἰήρ· πέμπτος, ἀνδριαντοποιός, ὃ μέμνηται Πο-
λέμων· ἕκτος, Εὐθυφρονίδης, ποικιλογράφος ἄνθρωπος, καὶ ἰσο-
κλεῖ καὶ ῥητορικὰ πεποίηκε βιβλία.

ΗΡΑΚΛΕΙΔΗΣ.

Ἡρακλείδης Εὐθύφρονος, Ἡρακλεώτης, τοῦ Πόντου,
ἀνὴρ πλούσιος. Ἀθλώντος δὲ παρέβαλε τοῦτον μὲν
Σπευσίππῳ· ἀλλὰ καὶ τῶν Πυθαγορείων διήκουσε, καὶ τὰ
Πλάτωνος ἐζηλώκει· καὶ ὕστερον ἤκουσεν Αἰσχοτέλους, ὡς
φησι Σωτίων ἐν διαδοχαῖς. ἦν δὲ εὐθὴς τὴν μαλακίαν ἐχέ-
τω, καὶ ὑπόσκιος ἰδεῖν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ
Ποντικόν, ἀλλὰ Πομπικὸν καλεῖσθαι. τοιοῦτός τε ἰδεῖν τὸ βά-
δισμα καὶ σεμνός. φέρεται δ' αὐτοῦ συγγράμματα κάλλιστά
τε καὶ ἄριστα. Διάλογοι, ὧν ἠθικά μέν, Περὶ δικαιοσύνης
γ'· ἐν οἷς, Περὶ σοφροσύνης· Περὶ τῆς ἀσεβείας. α'· καὶ Περὶ
αἰδοῦς, α'· κοινῶς τε Περὶ ἀρετῆς, α'· Περὶ εὐδαιμονίας,
α'· Περὶ ἀρχῆς, α'· καὶ Νόμων, α', καὶ τῶν συγγενῶν τού-
τοις· Περὶ ὀνόματος, α'· Σωφρονικὸς, α'· Ἀκούσιος ἐρωτικός,
καὶ Κλεινίας, α'. φυσικὰ δέ, Περὶ νοῦ, Περὶ ψυχῆς, καὶ
κατ' ἰδίαν, Περὶ ψυχῆς, καὶ Περὶ φύσεως, Περὶ εἰδώλων,
Πρὸς Δημόκριτον Περὶ τῶν ἐν οὐρανῷ, α'· Περὶ τῶν ἐν
ᾅδου· Περὶ βίων, α', β'· αἰτίαι Περὶ νόσων, α· Περὶ τοῦ ἀ-
γαθοῦ, α'· Πρὸς τὰ Ζήνωνος, α'· Πρὸς τὰ Μήτρωνος, α'·
γραμματικὰ δέ, Περὶ τῆς Ὁμήρου καὶ Ἡσιόδου ἡλικίας
α', β'· Περὶ Ἀρχιλόχου καὶ Ὁμήρου, α', β'. καὶ μουσικὰ

ϋ, Περὶ τῶν παρ' Εὐριπίδῃ καὶ Σοφοκλεῖ. α̃, β̃, γ̃. Περὶ μουσικῆς, α̃, β̃. Λύσεων Ὁμηρικῶν, α̃, β̃. Θεωρηματικόν, α̃. Περὶ τῶν τελῶν τραγῳδοποιῶν, α̃. Χαρακτῆρες, α̃. Περὶ ποιητικῆς καὶ τῶν ποιητῶν, α̃. Περὶ σοφισμάτων, α̃. Προοπτικῶν, α̃. Ἡρακλείτου ἐξηγήσεις, ο̃λ. Πρὸς τὸν Δημόκριτον ἐξηγήσεις, α̃. Λύσεων ἐριστικῶν, α̃, β̃. Ἀξίωμα, α̃. Περὶ εἰδῶν, α. Λύσις, α̃. Ὑποθῆκαι, α̃. Πρὸς Διονύσιον, α̃. ῥητορικὰ ϋ. Περὶ τοῦ ῥητορεύειν, ἢ Πρωταγόρας. ἰσοδικαί, ἢ περὶ Πυθαγορείων, καὶ Περὶ ἀρημοσύνης. Τούτων τὰ μὲν κωμικῶς πέπλακεν, ὡς τὸ Περὶ ἡδονῆς, καὶ Περὶ σωφροσύνης· τὰ δὲ, τραγικῶς, ὡς τὸ Περὶ τῶν καθ' ᾅδου, καὶ τὸ Περὶ ἀσεβείας, καὶ τὸ Περὶ ἐξουσίας. ἔστι δ' αὐτοῦ καὶ μεσότης τις ὁμιλητικὴ φιλοσόφων τε καὶ στρατηγικῶν καὶ πολιτικῶν ἀνδρῶν πρὸς διηνεκῶς διαλεγομένων. διὰ δὲ γνωμικά ἐστιν αὐτοῦ καὶ διαλεκτικά. διόπερ τις καὶ ἐν ἅπασι ποικίλος τε καὶ διηρημένος ἡ λέξις ἐστί, καὶ ψυχαγωγεῖν ἱκανῶς δυνάμενος. δοκεῖ δὲ καὶ τὴν πατρίδα τυραννουμένην ἐλευθεῶσαι, τὸν μόναρχον κτείνας, ὡς φησι Δημήτριος ὁ Μάγνης ἐν ὁμωνύμοις. ὃς καὶ τάδε ἱστορεῖ περὶ αὐτοῦ· θρέψαι αὐτὸν δράκοντα ἐν νέου, καὶ αὐξηθέντα, ἐπειδὴ τελευτᾶν ἔμελλε, κελεῦσαι τινὰ τῶν πιστῶν αὐτοῦ τὸ σῶμα καταχρύψαι, τὸν δὲ δράκοντα διὰ τῆς κλίνης θεῖναι, ἵνα δόξειεν εἰς θεοὺς μεταβεβηκέναι. ἐγένετο δὲ πάντα. καὶ μετὰ ξύλων ἁπάντων τὸν Ἡρακλείδου τὸν πλίνθων, καὶ ἁρμονιῶν, ὁ δράκων ἀκούσας τὸν βοῦν, ἐξέδυ τῶν ἰμαντίων, καὶ διετάραξε τοὺς πλείστους. ὕστερον μέντοι ἐξεκαλύφθη πάντα, καὶ ὤφθη Ἡρακλείδης οὐχ οἷος ἐδόκει, ἀλλ' οἷος ἦν. καὶ ἔστιν ἡμῖν εἰς αὐτὸν ὕστερος ἔχον,

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν, Ἡρακλείδη,
Ὡς ῥα θανὼν ἐγένου ζωὸς ἅπασι δράκων.
Ἀλλὰ διεψεύσθης σεσοφισμένε. δὴ γὰρ ὁ μέν θὴρ
Ἦεν δράκων, σὺ δὲ θὴρ οὐ σοφὸς ὢν ἐάλως.

ταῦτα δέφησι καὶ Ἱππόβοτος. Ἕρμιππος δ', λιμοῦ καταχέντος τὴν χώραν, φησὶν αἰτεῖν τοὺς Ἡρακλεώτας τὴν Πυθίαν λύσιν. τὴν δὲ Ἡρακλείδην διαφθεῖραι χρήμασι τοὺς τε θεωροὺς καὶ τὴν προφητεύουσαν, ὥστ' αἰεὶ τὴν ἀπαλλαγὴν εἶναι τῶν κακῶν, εἰ ζῶν μὲν Ἡρακλείδης ὁ Εὐθύφρονος χρυσῷ στεφάνῳ στεφανοῖτο παρὰ τοῖς αὐτῶν· ἀποθανὼν δέ, ὡς ἥρωι λαμπρὸν ἐκομίσθη. ὁ δὲ δῆθεν χρησμὸς, καὶ οὐδὲν ὤναντο οἱ πλάσαντες αὐτόν. αὐτίκα γοῦν ἐν τῷ διαπεφευσμένῳ ὁ Ἡρακλείδης, ἀπόπληκτος ἐλθών, οἱ τε θεωροὶ καταπαυλιάζειν τινὰς διεφθάρησαν. ἀλλὰ καὶ ἡ Πυθία τὴν αὐτὴν ᾠδὴν καθεδοῦσα εἰς τὸν ἄδυτον, καὶ ὀπτήσασα, εἰς τὴν δρακόντων δηλθεῖσα, ὡδὶ ἐχρήσατο ἀπόφθεγμα. καὶ τὰ μὲν περὶ τὴν θάνατον τοσαῦτα. φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς καὶ στρατιάς αὐτὸν πεῖν, καὶ Θέωνος αὐτὰς ὀπτήσαι. Χαμαιλέων τε τὰ παρ' ἑαυτῷ φησὶ κλέψαι τὰ αὐτὰ, τὰ περὶ Ἡσιόδου καὶ Ὁμήρου γράψαι. διὰ καὶ Αὐτήδωρος Ἐπικούρειος ὀπτημὰ αὐτὰ, πῆς περὶ δικαιοσύνης αἰτιλέγων. ἔτι καὶ Διονύσιος ὁ Μεταθέμενος ἢ Σπίνθαρος, (ὡς ἔνιοι) γράψας τὸ Παρθενοπαῖον, ἐπέγραψε Σοφοκλέους. ὁ δὲ, πιστεύσας, εἰς τὴν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους. ἀλόντος δὲ ὁ Διονύσιος ἐμμένουσι αὐτῷ τὰ χρονικά. τὸ δὲ ἐρισμένου καὶ ἀπορῶν, ἐπέστελλεν ἰδεῖν τὴν ᾠδὴν καὶ εἶχε παλαιόν. ἔστι δὲ ἴσως ἐρώμενος Διονυσίου· ὡς δὲ ἔτεροι λέγουσι, τὴν τύχην ἐπιδεικνύμενον ὅτου ἔχει, πάλιν ἀπεπιστείλεν ὁ Διονύσιος, ἔπη καὶ ταῦτα βήσας,

Γέρων πιθήκου οὐχ διαφέρεται παίζων·
Καλίσκεται μὲν, μετὰ χρόνον δὲ ἁλίσκεται.

καὶ ὡς τύπος, Ἡρακλείδης γράμματα ὑπὸ ὀπίσω τὰ, ἀλλ' ἡμῶν. γεγόνασι δὲ Ἡρακλείδαι πανταχοῦ δίκαι· ὧν ὁ μὲν, αὐτὸς οὗτος δεύτερος, πλάστης αὐτὸς, συγγράμματα καὶ φλυαρίας συντεταγμένος· ὁ δὲ, Κυμαῖος, γεγραφὼς

Πρωτικὰ ὧν πέντε βιβλίοις· τέταρτος, Κυμαῖος, ῥήτωρ τέχνης γεγραφώς· πέμπτος, Καλλιπιτικὸς ἢ Ἀλεξανδρεύς, γεγραφὼς τῷ διαδόχῳ ὧν ἓξ βιβλίοις· καὶ Λεμβωτικὸν λόγον, ὅθεν καὶ Λέμβος ἐκαλεῖτο· ἕκτος, Ἀλεξανδρεύς, γεγραφὼς τὰ Περσικὰ ἰδιώματα· ἕβδομος, διαλεκτικὸς Βαργυλιήτης, καὶ Ἐπικούρου γεγραφώς· ὄγδοος, ἰατρὸς τῶν ἀπὸ Ἱκεσίου ἔννατος, ἰατρὸς Ταραντῖνος ἐμπειρικός· δέκατος, ποιητικός, παραινέσεις γεγραφώς· ἑνδέκατος, ἀνδριαντοποιός, Φωκαεύς· δωδέκατος, ὀπτογραμμάτων ποιητής, Λιγυρός· τρισκαιδέκατος, Μάγνης, Μιθριδατικὰ γεγραφώς· τεσσαρεσκαιδέκατος, ἀστρολογούμενα συγγεγραφώς.

n.Hii.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡτίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ ϛ τῖ.

ΑΝΤΙΣΘΕΝΗΣ.

ΑΝΤΙΣΘΕΝΗΣ Ἀθηναῖος, Ἀθηναίου. ἐλέγετο δὲ ὑπ᾽ ἐνίων ἰθαγενής· ὅθεν πρὸς τὸν ὀνειδίζοντα εἰπεῖν, Καὶ ἡ μήτηρ τῶν θεῶν, Φρυγία θύγατερ. ἐδόκει γὰρ εἶναι Θρᾴττης μητρός. ὅθεν καὶ ἐν Ταν ἀγρᾷ κατὰ τὸν μαχλῶν διδοκιμήσας, ἔδακε λέγων Σωκράτη, ὡς ὑπ᾽ ἄλλων ἐν δυοῖν Ἀθηναίοιν οὕτω μεγάλοις γλυτᾶσθαι. καὶ αὐτὸς ὢν τοῖς Ἀθηναίοις ὑπὸ τῶν γνησίων εἶναι σεμνοῦ μύθους ἐκφαυλίζων, ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀπελέβων ἀγλωττότερος. διὸ καὶ Φάρακι μὲν ἤκουσε Γοργίου τε ῥήτορος. ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ὑπαφέρει, καὶ μάλιστα ἐν τῇ Ἀληθείᾳ, καὶ τοῖς περὶ πειθοῦς. φησὶ δὲ Ἕρμιππος ὅτι παρεῖλετο ἐν τῇ τῶν Ἰωνίων παιπαλύρει ψήξαι τε καὶ ἐπαγγείλαι Ἀθηναίοις, Θηβαίοις, Λακεδαιμονίοις. εἶτα ὑφ᾽ ἑαυτῷ παραστήσασθαι, ἰδίᾳ πλείστους ἐκ τῶν πόλεων ἀφιγμένους. ὕστερον δὲ παρέβαλε Σωκράτει, καὶ τοσοῦτον ὠφελήθη αὐτοῦ ὥστε παρῆνει τοῖς μαθηταῖς γυμνάσθαι αὐτοῦ πρὸς Σωκράτην συμμαθητάς. εἰπόντα τε ἐν Πειραιεῖ, καὶ δι᾽ ἑκάστου ἡμέρας, δὶς πεντακόσια σαλπίσαι αὐλητήν, ἤκουσε Σωκράτους· παρ᾽ οὗ καὶ τὸ καρτε-

ελκὸν λαβὼν, καὶ τὸ ἀπαθὲς ζηλώσας, κατῆρξε τοῦ πόνου τὸ κυνισμοῦ. καὶ ὅτι ὁ πόνος ἀγαθὸν, σωτέησε δηλᾶ τὸν μεγάλου Ἡρακλέους καὶ τὸν Κύρου· τὸν μὲν, ἀπὸ τῶν Ἑλλήνων· τὸν δὲ, ἀπὸ τῶν βαρβάρων ἑλκώσας. τοῦτόν τε αἰείσατο λόγον, εἰπὼν, Λόγος ἔστιν ὁ τὸ πίλιον ἢ ὅτι δηλῶν· ἔλεγέ τε σωτερὲς, Μανείλιον μᾶλλον ἢ ἠθείλιον. καὶ, Χρὴ τοιαύτας πλησιάζειν γυναιξὶν, αἳ χάειν εἴσονται. τοῦτόν τε τὸ Πονικὸν μιεφάμιον, μέλλον φοιτᾶν αὐτῷ, καὶ πυθόμενον πίνων αὐτῷ δεῖ, φησὶ Βιβλιαείου καὶ νοῦ, καὶ χαρτείου καὶ νοῦ, καὶ πινακιδίου καὶ νοῦ· τὸν νοῦν παρεμφαίνων. τοῦτόν τε ἰδὼν τὸν ἐρώμενον τοδαπὴν γνώμην, ἔφη, Ἂν μὲν καλὼν ἔχεις, κοινόν· αἰ δὲ αἰσχρὰν, ἔχεις πινόν. ἀκούσας ποτὲ ὅτι Γλάτων αὐτὸν κακῶς λέγει, Βασιλικὸν (ἔφη) καλῶς ποιοῦντα, κακῶς ἀκούειν. μυούμενος ποτὲ τὰ Ὀρφικὰ, τοῦ ἱερέως εἰπόντος ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν ᾅδου μετέχουσι, Τί οὖν (ἔφη) οὐκ ἀποθνήσκεις; ὀνειδιζόμενος ποτὲ ὡς οὐκ εἴη ἐκ δύο ἐλευθέρων, Οὐκοῦν ἐκ δυοῖν (ἔφη) παλαιστικῶν, ἀλλὰ παλαιστικός εἰμι. ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητὰς, ἔφη, Ὅτι ἀργυρέᾳ αὐτοὺς ἐκβάλλω ῥάβδῳ. ἐρωτηθεὶς διὰ τί πικρῶς τοῖς μαθηταῖς ὁμιλεῖ, Καὶ οἱ ἰατροὶ, φησὶ, τοῖς κάμνουσιν. ἰδών ποτε μοιχὸν φεύγοντα, Ὦ δυστυχὲς (εἶπε) πολίτικον κίνδυνον ὅλου διαφυγεῖν ἐδυνάσω. κρεῖττον ἔλεγε (κατά φησιν Ἑκάτων ἐν ταῖς χρείαις) εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν. οἱ μὲν γὰρ νεκροὶ, οἱ δὲ ζῶντας ἐσθίουσιν. ἐρωτηθεὶς τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη, Εὐτυχοῦντα ἀποθανεῖν. γνωρίμου ποτὲ τοῦ αὐτὸν ἀποδυρομένου, ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, Ἔδει γὰρ (ἔφη) ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν τοῖς χάρταις καταγράφειν. ὥσπερ γὰρ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι. τοὺς βουλομένους ἀθανάτους εἶναι, ἔφη δεῖν ζῆν ὁσίως καὶ δικαίως.

πότ' ἔφη πὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δυνῶνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν. ἐπαινούμενός ποτε ὑπό τινος πονηροῦ ἔφη, Λήθομαί μήπω κακόν εἴργασμαι. ὁμογνωμόνων ἀδελφῶν συμβίωσιν, παιτὸς ἔφη τείχους ἰσχυροτέραν εἶναι. τοιαῦτα ἔφη δεῖν πείθεσθαι ἐφόδια, ἃ καὶ ναυαγήσαντα συμπεριβήσεται. ὀνειδιζόμενός ποτε ὅτι τῶν πονηροῖς συγγενέσθαι, Καὶ οἱ ἰατροί, φησί, μετὰ τῶν ἀσθενούντων εἰσίν, ἀλλ' ὑπὲρ τοῦ ὑγιάναι. ἄτοπον ἔφη, τὸν μὲν σῖτον ἀμέρας ἐκλέγειν, τὴν δὲ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους· ἐν δὲ πολιτείᾳ τοὺς φαύλους μὴ παραπέμπεσθαι. ἐρωτηθείς τί αὐτῷ διαφέρουσιν ἐν φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν. εἰπόντος αὐτῷ τινὸς ὡς κακῶς πάσχει, ἄσσον, Σύ μοι, φησὶν, αὐλησον. Διογένει χιτῶνα αἰτοῦντι, πήξας ὡς εἰκῆ θοιμάτιον. ἐρωτηθείς τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, Τὸ κακὰ ἀπομαθεῖν. παρεκελεύετό τε κακῶς ἀκούοντας καρτερεῖν μᾶλλον ἢ εἰ λίθοις τις βάλλοιτο. ἔσκωπτε Πλάτωνα ὡς τετυφωμένον. πυνθανομένου τινὸς εἰ πολλοὶ θάσσοιεν φρυακτοί, φησὶ πρὸς τὸν Πλάτωνα, Ἐδείκνεις μοι καὶ σὺ ἵππον ἀνεῖ) λαμπρωτής. τοῦτο δὲ ἐπεὶ καὶ συνεχῶς ὁ Πλάτων ἵππον ἐσήνει. καί τ' ἐλθὼν πρὸς αὐτὸν τοσοῦτα, καὶ θασσάμενος λεκαίλω ἔνθα ὁ Πλάτων ἐμεμέκει, Χολιὼ μὲν ὁρῶ ἐνθαῦτα, τύφον δ' οὐχ ὁρῶ. συνεβούλευεν Ἀθηναίοις, τοὺς ὄνους ἵππους ψηφίσασθαι. ἄλογον δ' ἀγρυπνῶν, Ἀλλὰ μὲν καὶ στρατηγοί, φησί, γίνονται παρ' ἡμῖν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες. πρὸς τὸ ῥῆτορα, Πολλοί σε ἐπαινοῦσι. Τί γὰρ, ἔφη, κακὸν πεποίηκα; σκέψασθαι αὐτῷ τὸ διεῤῥωγὸς τοῦ τείχους εἰς τὸ σφαγεῖον, Σωκράτης ἰδών, φησὶν, Ὁρῶ διὰ τοῦ τείχους τὴν φιλοδοξίαν. ἐρωτηθείς ποτέ του, (καθά φησι Φανίας ὁ περὶ τῆς Σωκρατικῆς) τί πλέον καλὸς καὶ ἀγαθὸς εἶναι, ἔφη, Εἰ τὰ κακὰ ἃ ἔχεις, ἐπιφυκτὰ ἔσται μάθοις ἂν τῇ εἰδόσιν. πρὸς τὸν ἐπαινοῦντα βυσσόν, Ἐχθρὸν, φησὶ, παῖδες.

ἔφη, πυφήσαν. πρὸς τὸ σχῆμα πίζον αὐτοῦ ὦ πλάτη μειρακιον, Εἰπέ μοι, φησὶν, εἰ φωνὴν λάβοι ὁ χαλκὸς ὅτι τινὶ ἂν σεμνυνθείη; τῷ δ' εἰπόντος, Ἐπὶ κάλλει· Οὐκ ἀρχμήσουν, ἔφη, τὰ ὅμοια γενηθεὶς ἄψυχα; Πρὸς τὸ νεανίσκου πλουσίου πλυνορήσαν αὐτὸν ἐπαγγελλομένου, εἰ τὸ πλοῖον ἀφίκοιτο τὴν Ἑλλάδα, λαβὼν αὐτὸν καὶ θύλακον κενὸν, πρὸς ἀλφιτόπωλιν ἦκε, καὶ σαξάμενος ἀπῆει. τοῦ δ' αἰτήσαντος τὸ διάφορον, Ὁ νεανίσκος, ἔφη, δῶσει ἐὰν τὸ πλοῖον αὐτοῦ τὴν Ἑλλάδα ἀφίκηται. αὐτὸς καὶ Ἄνυτῳ τῆς φυγῆς αἴτιος γενέσθαι δοκεῖ, καὶ Μελίτῳ τοῦ θανάτου. Ποντικοῖς γὰρ νεανίσκοις, τοῦ κλέους τοῦ Σωκράτους ἀφιγμένοις, πρὸς τυχὼν, ἀπήγαγεν αὐτοὺς πρὸς τὸν Ἄνυτον, εἰπὼν ἐν ᾧ ἦν, σοφώτερον εἶναι τοῦ Σωκράτους. ἐφ' ᾧ διαγανακτήσαντας τοὺς πρεσβυτὰς ἐκδιῶξαι αὐτόν. εἰ δέ ποθι θεάσαιτο μειράκιον κεκοσμημένον, ἀπῄει ὅτι τὴν οἰκίαν αὐτῆς, ἢ ἐκέλευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ ὅπλα· ὥστε εἰ μὴ ἔχοι ταῦτα, ἐᾶν πρυφᾶν· (ἁμιλλᾶσθαι γὰρ τούτοις) εἰ δὲ μή, πρεσβεύειν τὸν κόσμον. ἤρεσκεν αὐτῷ καὶ τάδε. διδαχτικὸν ἀπέδεικνυε τὴν ἀρετὴν, καὶ τοὺς αὐτοῦ ἀκούοντας τοιούτους καὶ ἐναρέτους. αὐτάρκη γὰρ τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν, μηδενὸς προσδεομένην, ὅτι μὴ Σωκρατικῆς ἰσχύος. τὴν τε ἀρετὴν, τοῦ ἔργου εἶναι, μήτε λόγων πλείστων δεομένην μήτε μαθημάτων. αὐτάρκη τε εἶναι τὸν σοφόν· πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων. τήν τε εὐδοξίαν, ἀγαθὸν, καὶ ἴσον τῷ πόνῳ. καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. γαμήσειν τε τεκνοποιίας χάριν, καὶ τοιαύτας συνοικήσειν γυναῖκα. καὶ ἐρασθήσεσθαι δὲ μόνον γὰρ εἰδέναι τὸν σοφὸν πόθῳ χρὴ ἐρᾶν. ἀναιρεῖ δ' αὐτῷ καὶ Διοκλῆς ταῦτα. τῷ γὰρ σοφῷ ξένον οὐδὲν, οὐδὲ ἄπορον. ἀξιέραστος ὁ ἀγαθός. οἱ κακοδαίμονες, φίλοι. συμμάχους ποιεῖσθαι τοὺς ἀψύχους ἅμα καὶ δικαίους. ἀναφαίρετον ὄντα,

ἀρετή. κρεῖττόν ἐστι μεῖ' ὀλίγων ἀγαθῶν ἢ ἐς ἅπαντας τοὺς κακούς, ἢ μετὰ πολλῶν κακῶν ἢ ἐς ὀλίγους μάχεσθαι. ἢ ἐς ἐχθροὺς· ἢ γὰρ τῶν ἁμαρτημάτων αἰδάνονται. τὴν δίκαιον ἢ εἰ πλείονας πιεῖσθαι τῶν συγγενοῦς. ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή. ἴσα θεὰ καλὰ τὰ καὶ, αἰσχρά· τὰ πάντα, νόμιζε ξένια καί. τεῖχος ἀπαγόρευσαν, φρόνησιν· μήτε γὰρ καταρρεῖν, μήτε ἢ δίδοσθαι. τεῖχος κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λογισμοῖς. διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ μικρὸν ἄπωθεν τῆς πύλης· ὅθεν οἱ μὲν καὶ τὸν Κυνικὸν ἐπεσθαι ὀνομασθῆναι· αὐτός τε ἐπεκαλεῖτο Ἀπλοκύων. καὶ ἢ ἐς ἐδίπλωσε τὸν τρίβωνα, (καθά φησι Διοκλῆς) καὶ μόνῳ αὐτῷ ἐχρῆτο· βάκτρον τε αἴρεσθαι καὶ πήραν. ἢ ἐν ταῖς Διατυπώσεσι τὸν τρίβωνα,

φέρονται δ' αὐτῦ συγγράμματα, τόμοι δέκα· περὶ τοῦ, ἐν ᾧ Περὶ λέξεως ἢ Περὶ χαρακτήρων· Αἴας, ἢ Αἴαντος λόγος, Ὀδυσεύς, ἢ Περὶ Ὀδυσέως, Ὀρέστου ἀπολογία πρὸς τοὺς δικογράφους, Ἰσοχαφὴ ἢ Δεσίας ἢ Ἰσοκράτης, πρὸς τὸν Ἰσοκράτους ἀμφίτυρον. τόμος δεύτερος, ἐν ᾧ Περὶ ζώων φύσεως, Περὶ παιδοποιίας, ἢ Περὶ γάμου, ἐρωτικός· Περὶ τῶν σοφιστῶν φυσιογνωμονικὸς, Περὶ δικαιοσύνης καὶ ἀνδρείας πρωτρεπτικὸς, πρῶτος, δεύτερος, τρίτος· Περὶ Θεογνίδος, λ, ε· τόμος γ, ἐν ᾧ Περὶ ἀληθοῦς, Περὶ ἀνδρείας, Περὶ νίμψ, ἢ Περὶ πολιτείας, Περὶ νόμου, ἢ περὶ καλοῦ καὶ δικαίου, Περὶ ἐλευθερίας καὶ δουλείας, Περὶ πίστεως, Περὶ ὀπτοῦ, ἢ Περὶ τοῦ πείθεσθαι, Περὶ νίκης οἰκονομικός. τόμος δ, ἐν ᾧ Κῦρος, Ἡρακλῆς ὁ μείζων, ἢ Περὶ ἰσχύος. τόμος ε, ἐν ᾧ Κῦρος ἢ Περὶ βασιλείας, Ἀσπασία. τόμος ς, ἐν ᾧ ἀλήθεια, Περὶ τοῦ διαλέγεσθαι αἰπλοϊκός, Σάθων περὶ τοῦ αἰπλέγειν, α, β, γ· Περὶ διαλέκτου. τόμος ζ, ἐν ᾧ Περὶ παιδείας ἢ ὀνομάχ, α, β, γ, δ, ε· Περὶ τοῦ ἀποθανεῖν, Περὶ ζωῆς καὶ θανάτου, Περὶ τῶν ἐν ᾅδου, Περὶ ὀνομάχ χρήσεως, ἢ Ἐλεγικός, Περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως, Περὶ δόξης καὶ ὑπολήμψεως, α, β, γ, δ· Περὶ φύσεως, α, β· Ἐρώτημα περὶ φύσεως, β· Δόξαι, ἢ Ἐλεγικός· Περὶ τοῦ μανθάνειν προβλήματα. τόμος η, ἐν ᾧ Περὶ μουσικῆς, Περὶ ἐξηγητῶν, Περὶ Ὁμήρου, Περὶ ἀδικίας καὶ ἀσεβείας, Περὶ Κήρυκος, Περὶ κατασκόπου, Περὶ ἡδονῆς. τόμος θ, ἐν ᾧ Περὶ Ὀδυσσείας, Περὶ τῆς ῥάβδου· Ἀθηνᾶ, ἢ Περὶ Τηλεμάχου, Περὶ Ἑλένης καὶ Πηνελόπης, Περὶ Πρωτέως, Κύκλωψ ἢ Περὶ Ὀδυσσέως, Περὶ οἴνου χρήσεως, ἢ Πρὸς μέθης, ἢ Πρὸς τὸν Κύκλωπος· Περὶ Κίρκης, Περὶ Ἀμφιαραίου, Περὶ τοῦ Ὀδυσσέως καὶ Πηνελόπης, καὶ Περὶ Πολυκάνους. τόμος ι, ἐν ᾧ Ἡρακλῆς ἢ Μίδας, Ἡρακλῆς, ἢ Περὶ φρονήσεως, ἢ ἰσχύος, Κύκλος ἢ ἐρώμενος· Κύκλοι ἢ καθ-

σκοπεῖ, Μετέξεις, ἢ Περὶ τῆς ἀρχῆς, Ἀλκιβιάδης, Ἀρχέλαος, ἢ Περὶ βασιλείας. καὶ ταῦτα μὲν ὅσα συνέγραψεν. ἐτίμων δὲ διὰ τὸ πλῆθος ὀπτιμῶν αὐτὸν, παρεφύη φλέδια φησὶν αὐτόν. ἐπλεόνασε δὲ ἀρρωσία, ὥστε καὶ Διογένης εἰσιὼν πρὸς αὐτὸν, ἔφη, Μὴ χρεία φίλευε καὶ ποτ' αὐτὸν ξιφίδιον ἔχων εἰσῆλθε. τῶν δ' εἰπόντος, Τίς σε ἀπολύσει μετὰ τῶν πόνων; δείξας τὸ ξιφίδιον ἔφη, Τοῦτο. καὶ ὃς, Τῶν πόνων, εἶπεν, οὐ τὸν ζῆν. ἐδόκει δ' πως μαλακώτερον φέρειν τὴν νόσον ὑπὸ φιλοζωίας. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον;

Τὸν βίον ἔνθα κύων Λυπάζετες; ὧδε πεφυκὼς
Ὥστε δακεῖν καλέοντα ῥήμασιν ἠμαθόεσσαν.
Ἀλλ' ἔθανες σάπιος. ταχὺ ἔρχεαι ὃς ἴσως, Τί δὴ τόσον;
Πάντως εἰς ᾅδου δεῖ σὺν ὁδηγὸν ἔχειν.

γεγόνασι δὲ καὶ ἄλλοι Λυπάζειοι, τρεῖς· Ἡρακλείτειος, εἷς ἕτερος, Ἐφέσιος, καὶ Ῥόδιος ὃς ἱστορεῖ. ἐπεὶ δὴ ἦλθε καὶ ἐπὶ Λεωσίππου διελαλύσαμεν καὶ Φαίδωνος, νῦν ἐλεύσομαι καὶ ἐπὶ Λυπαζέους κυπρίου τε καὶ Στωϊκοῦ. καὶ ἐγένετο ὧδε.

ΔΙΟΓΕΝΗΣ.

Διογένης, Ἰκεσίου βαπέζιτα, Σινωπεύς. φησὶ δὲ Διοκλῆς, δημοσίαν αὐτὸν τὴν τράπεζαν ἔχοντα βαθὺς, καὶ παραχαράξαντα τὸ νόμισμα, φυγεῖν. Εὐβουλίδης δ' ἐν τῷ περὶ Διογένους, αὐτὸν Διογένη φησὶ τοῦτο πεφυκέναι καὶ συναλλάσσειν τῷ πατρί. οὐ μὴν ἀλλὰ ἔνιοί γε αὐτὸν φασὶν ἐν τῷ Πεδάλιῳ εἰς παραχάραγμα τὸ νόμισμα. ἔνιοι δ' ὀπτιμελητὴν γεγονέναι αἰσχυνθῆναι τοῦτο τὸν πεῖραν, καὶ ἐλθόντα εἰς Δελφοὺς, ἢ εἰς τὸ Δήλιον, ἐπερωτᾶν τῷ πατρίδι Ἀπόλλωνος πειθαρχήσειν εἰ ταῦτα πράξει ἄνδρ' αἰσχύνθηται. τῆς δὲ συγχωρήσαντος, τὸ πολιτικὸν νόμισμα ὑποκόψας, τὸ κίβδηλον ἐξ ἐφόδου λέγειν,

ὡς μὲν τινες, ἐφυγαδεύθη· ὡς δέ τινες, ἑκὼν ὑπεξῆλθε, φοβηθείς. ἔνιοι δέ φασι παρὰ τοῦ παιδὸς αὐτὸν λαβόντα τὸ νόμισμα, διαφθεῖραι· καὶ τὸν μὲν, δεδιότα ἀποθανεῖν τὸ ὂν, φυγεῖν, ἐλθόντα τε εἰς Δελφοὺς καὶ πυθόμενον οὐκ εἰ παραχαράξαι, ἀλλὰ τί ποιήσας ἐνδοξότατος ἔσοιτο, οὕτω λαβεῖν τὸν χρησμὸν τοῦτον. νομίσμασι τὰ Ἀθηναίων ἀντὶ δέκα παρέβαλε. τοῦ δὲ διωθουμένου, διὰ τὸ μηδέποτε παρεῖσθαι, ἐξεβιάζετο τῇ παρεσκευῇ. καί ποτε τὴν βακτηρίαν ἐπανατείναντος, αὐτῷ τὴν κεφαλὴν ὑπορρήξαι, Παῖε εἶπεν, οὐ γὰρ ῥήσῃ οὕτω σκληρὸν ξύλον ὡς με ἀπείρξεις, ἕως ἂν τὰ φαίνῃ λέγων. τοιοῦτός τις διήκουσεν αὐτοῦ, καὶ, ἅτε φυγὰς ὤν, ὥρμησεν ἐπὶ τὸν ἀπέλεγχον βίον. μισῶν θεασάμενος διατρέχοντα (καθά φησι Θεόφραστος ἐν τῷ Μεγαρικῷ) καὶ μήτε κοίτην ὑπομένοντα, μήτε σκόπιμον ἀναλαμβάνοντα, ἢ πρὸς τὰ δοκοῦντα ἀπόλαυστον, πόρον ἐξεῦρε τῆς παρεισάσεως· πείθων αὐτὸν διπλώσας τὸν τρίβωνα κατὰ τὰς πτυχὰς διατρέχειν· καὶ ἐποίησεν αὐτῷ. πηγὴν τε ἐκομίσατο, ἔνθα αὐτῷ τὰ σπέρματα λούῃ. καὶ πανταχοῦ εἰσῆλθε πάντα, ἁρίστων τε καὶ καθεύδων καὶ διαλεγόμενος, ὅτε καὶ τοῖς Ἀθηναίοις ἔφασκε, (δείκνυσι τὸν τοῦ Διὸς τοῦτον) καὶ πομπεῖον αὐτῷ κατεσκευακέναι ἐνδιατρᾶσθαι. βακτηρίᾳ δὲ ἐπαρείσατο ἀθηναῖος· ἔπειτα μέν τοι καὶ διὰ παντὸς ἐφόρει, οὐ μὴν ἐν ἄστει, ἀλλὰ καθ' ὁδὸν αὐτῇ τε καὶ τῇ πήρᾳ, καθά φησιν Ὀλυμπιόδωρος ὁ Ἀθηναίων θεσσάτης, καὶ Πολύβυκτος ὁ ῥήτωρ, καὶ Λυσανίας ὁ Λιγγιώτης. ὑπεστίλας δέ τινι οἰκίδιον αὐτῷ, θεωνοήσαντα, καὶ βεβδελυόντος, τὸν ἐν τῷ μητρῴῳ πίθον ἔσχεν οἰκίαν, ὡς καὶ αὐτὸς ἐν ταῖς ὑποθήκαις διασαφεῖ. καὶ θέρους μὲν ὑπὸ ψάμμου ζεούσης ἐκυλινδεῖτο, χειμῶνος δὲ ἀνδριάντας κεχιονισμένους περιῆγε, παιδαγωγῶν ἑαυτὸν σωφρονεῖν. δεινός τε ἦν καταστοχάσασθαι τῶν ἄλλων. ἤκουσε δὲ καὶ Εὐκλείδου τοῦ Μεγαρικοῦ, ἔλεγε δὲ καὶ Πλάτωνος,

δλατειβλώ, κατατειβλώ. τοὺς δὲ Διονυσιακοὺς ἀγῶνας μεγάλα θαύματα μωσοῖς ἔλεγε. καὶ τοὺς δημαγωγούς, ὄχλου διακόνους. ἔλεγε δὲ καὶ ὡς ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ καὶ ἰατροὺς καὶ φιλοσόφους, σωφρονέστατον τῶν ζώων εἶναι τὸν ἄνθρωπον· ὅταν δὲ πάλιν ὀνειροκρίτας καὶ μάντεις καὶ τοὺς περὶ δόξαν ἔχοντας τύφους, ἢ πού ἐστι δόξῃ κυβερνῶμενος, οὐδὲν ματαιότερον νομίζειν αὐτοῦ. συνεχέστερον τε νομίζειν ἔλεγεν, εἰς τὸν βίον φιλοσοφάζεσθαι δεῖν λόγον ἢ βρόχον. καί ποτε Πλάτωνα ἐν δείπνῳ πλυτελεῖ καταγόνατα ἐλαᾶς ἁψάμενον, Τί (φησὶν) ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τὴν πραπέζων τύπων χάριν, νῦν φιλοκενεῖν ἐκ ἀπολαύεις; καὶ ὅς, Ἀλλὰ νὴ τοὺς θεούς (φησὶ) Διόγνυες, κἀκεῖ τὰ πολλὰ σοῦ ἐλάας καὶ τὰ τοιαῦτα ἐγκωμίων. ὁ δὲ, Τί οὖν ἔδει πλεῖν εἰς Συράκουσας; ἢ πότε ἡ Λιβικὴ ἐκ ἔφερεν ἐλάας; Φαβωρῖνος δέφησιν ἐν πανδαπῇ ἱστορίᾳ Ἀρίστιππον εἰπεῖν πότε, καὶ διὰ τί ἐταίρας ἑαυτῷ ἀπήτει· αὐτὸν φησίτε, Ἔξεστί σοι μεταχεῖν· τὸ δὲ, λαβόντας καὶ φαγόντας, ἔφη, Μεταχεῖν εἶπον, οὐ καταφαγεῖν. πατὴρ αὐτοῦ ποτὲ σῶμα κακοήθους φίλου φιλοδιονυσίου, ἔφη, Πατῶ τὸν Πλάτωνος κενοδοξίαν. σοφὸς ὃν ὁ Πλάτων, Ὅσοι ὦ Διόγνυες τὸ τύφον διαφαίνεις, δεῖ ὦν μὴ πεπρῶσθαι. οἱ δὲ, φασὶ τὸν Διογνύλον εἰπεῖν, Πατῶ τὸν Πλάτωνος τύφον τὸν δὲ φαίνει, Ἕτερόν γε τύφον, Διόγνυες. Σωπῶν δὲ ἐν τῷ πότῳ φησὶ τὸν σοφὸν αὐτὸν εἰπεῖν τὸν Πλάτωνα τὸν κύνα. Διογνύλος οἶνον ποτὲ ἤτησεν αὐτὸν, τότε δὲ καὶ ἰσχάδας· ὁ δὲ, κεράμιον ὅλον ἔπεμψεν αὐτῷ· καὶ ὅς, Σὺ (φησὶν) ἐκ ἐρωτηθεὶς δύο καὶ δύο πόσα ἐστὶν, εἴκοσι ἀπεκρίνῃ· οὕτως οὔτε σοὶ τὰ αἰτήματα δίδως, οὔτε σοὶ τὰ ἐρωτήματα ἀπεκρίνῃ. ἐσκωψε δὴ ὡς ἀπροκάτωλογον. ἐρωτηθεὶς ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας, Ἄνδρας μὲν (εἶπεν) ἐδαμοῦ, παῖδας δὲ ἐν Λακεδαίμονι. ἀπυθάρλογουμένῳ ποτὲ ὡς οὐδεὶς φυσήσῃ

φθονήει, ἐπίβαλε περιπίζειν. ἀστοιαδέντων ἢ, ὠνείδισεν, ὡς ὅπι μὴ τοὺς φλιωάφους ἀφικνουμένων ἀπουδαίως, ὅπι ἢ τὰ ἀπουδαῖα βεβαλλωότων ὀλιγάφως. ἔλεγέ τε φὲι μὴ δεῖν παροράειν καὶ λακτίζειν, ἀγφτίζεσθαι τοὺς αὐτῷ πως· φὲι ἢ καλοκάγαθίας, οὐδέια. τοὺς τε γραμματικοὺς ἐθαύμαζε, τὰ μὲν τὸ Ὀδυσσέως κακὰ αἱαζηπεῶντας, τὰ ἢ ἴδια ἀγνοεῶντας. καὶ μὲν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, αἰάρμοστα ἢ ἔχειν τῆς ψυχῆς τὰ ἤθη. τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν φὲς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δ' ἐν ποσὶ φεάγματα παροράειν. τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐπουδακέναι λέγειν, φεάττειν ἢ οὐδαμῶς. ἀλλὰ μὲν καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ἀσπάζεσθαι δέ. κατεγίνωσκε ἢ καὶ τῶν ἐπαγγελλόντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπαίωειεν, ζηλοῦντων ἢ τοὺς πολυχρηματίας. ἐπῄνει δ' αὐτὸν καὶ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ὑπ' αὐτῆς ἢ τῆς θυσίας κατὰ τῆς ὑγιείας δρᾶν. ἄγασθαι ἢ καὶ τῶν δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπάζειν τῶν ἐδεσμάτων. ἐπῄνει τοὺς μέλλοντας γαμεῖν, καὶ μὴ γαμεῖν· καὶ τοὺς μέλλοντας καταπλεῖν, καὶ μὴ καταπλεῖν· καὶ τοὺς μέλλοντας πλουτεῖσθαι καὶ μὴ πλουτεῖσθαι· καὶ τοὺς παιδοτροφεῖν, καὶ μὴ παιδοτροφεῖν· καὶ τοὺς φιλοσοφοῦντας συμβιοῦν τοῖς δυνάσταις, καὶ μὴ φιλοσοφοῦντας. ἔλεγε ἢ χρῆναι τὰς χεῖρας ὅπως τοὺς φίλους ἐκτείνωμεν συγκεκαμμένους τοῖς δακτύλοις. φησὶ ἢ Μένιππος ἐν τῇ Διογένους φεάσει, ὡς ἄλλοις καὶ πολλοῖς ἐρωτηθῆναι τί οἶδε ποιεῖν· ἀποκρίνασθαι, Ἀνθρώπων ἄρχειν. καὶ φὸς τὸν κήρυκα, Κήρυσσε, ἔφη, εἰ τις ἐθέλει δεσπότην αὑτῷ πρίασθαι. πολυθρύλητα καθίζεσθαι, Οὐδέν, ἔφη, διαφέρει καὶ τοὺς ἰχθῦς ὅπως αὐ κέοιντο ποφάσκεσθαι. θαυμάζειν τε ἔφη εἰ χύτρας μὲν καὶ λοπάδα ὠνούμενοι ἐκκροτοῦμεν αὐτὰς ἀκριβῶς ἢ, μόνῃ τῇ ὄψει ἁρκεῖσθαι. ἔλεγε

τῷ Ξενιάδῃ τῷ παιδαγωγῷ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ εἰ καὶ δοῦλος εἴη. καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος ἦν, πειθῶσι αὐτούς. Εὔβουλος δέ φησιν ἐν τῷ ὑπομνηματικῷ Διογένους τρόπους, οὕτως ἄρξαι τοὺς παῖδας τὸν Ξενιάδου, μετὰ τὰ λοιπὰ μαθήματα, ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν. ἔπειτα ἐν τῇ παλαίστρᾳ μὴ ἐπιτρέπειν τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄρχειν, ἀλλ' αὐτὸς ἐρυθήματος χάριν καὶ εὐεξίας. καπῆρον δ' οἱ παῖδες πολλὰ πιπτόντες καὶ συγχεόμενοι, καὶ τὸν αὐτὸν Διογένους. πᾶσάν τε ἔξοδον σωμάτων, τρόπον τινὰ μιμούμενον, ἐπήσκει. ἐν οἴκῳ τε ἐδίδασκε δεῖσθαι λιτῇ τροφῇ χρωμένους, καὶ ὕδωρ πίνοντας. ἐν τρόπῳ κενοδοξίας τε καὶ ἀκαλλωπιστίας εἰργάζετο, καὶ ἀχιτωνίας, καὶ αὐτάρκειας, καὶ σωφρόνους, καθ' αὑτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς. ἔξῃρε δ' αὐτὸς καὶ ὑπομένοντα. οἱ δ', καὶ αὐτὸν Διογένους ὑπομέλειαν ἐποιοῦντο, καὶ τρόπον τινὰ τοῖς γονεῦσιν αἰτιώτατος ἦν. ὁ δ' αὐτὸς φησι τὸν τῷ Ξενιάδῃ καὶ γηραιὸν αὐτὸν, καὶ θανόντα ταφῆναι πρὸς τοῖς τοῦ υἱοῦ αὐτοῦ. εἶτα καὶ πῶς θανόμενον τὸν Ξενιάδου πῶς αὐτὸν θάψειεν, ἔφη, Ἐπὶ πρόσωπον τὸν δ' ἑρμοῦ Διὰ τί; Ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἀναστρέφεσθαι. τοῦτο δηλαδὴ τὸ ὑπὸ Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι. εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πλουσίου, καὶ κατακλύοντος πτύοντα, ἐπειδὴ ἐχρέμψατο, εἰς τὸν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείριστα πάντων μὴ θυμικὸν ἀνάγκη. οἱ δὲ τοῦτο Διογένους φασί. φωνήσας ποτέ, Ἰὼ ἄνθρωποι, συνελθόντων, καθίκετο τὴν βακτηρίαν, εἰπὼν, Ἀνθρώπους ἐκάλεσα, οὐ κατάρματα, ὡς φησὶν Ἑκάτων ἐν τῷ περὶ τῶν χρειῶν. φασὶ δὲ καὶ Ἀλέξανδρον εἰπεῖν ὡς εἰ μὴ Ἀλεξάνδρος ἐγενόμην, ἐβουλήθην ἂν Διογένης γενέσθαι. αἰσχίστους ἔλεγε τοὺς τοῖς χρυσοῖς καὶ πυκνοῖς, ἀλλὰ τοῖς μὴ ἔχοντας αἰσχύνεσθαι. εἰσελθών ποτε εἰς νέων συμπόσιον (καθά φησι

Μητροκλῆς ἐν ταῖς χρείαις) πληγὰς ἔλαβε. μετὰ δὲ ἐγγράψας τὰ ὀνόματα εἰς λεύκωμα τῶν πλουσίων, περιῆει ἐξημμένος· ὡς αὐτοὺς εὗρεν ὠφελήθη καταγνωσκομένους καὶ ὑποπλησσομένους. ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα θλιβῆναι τῶν ἐπαινουμένων συνεχόμενον ὑπὸ τοῦ θήρου. τοῦς τὸν εἰπόντα, Πύθια νικᾷ ἄνδρας, Ἐγὼ μὲν οὖν, εἶπεν, ἄνδρας, οὐ δὲ ἀνδράποδα. τοῦς τοὺς εἰπόντας Γέρων εἶ, χαλοπὸν ἄνες· Τί δὲ, ἔφη, εἰ δολιχὸν ἔδραμον, τοῦς τῷ τέλει ἔδωκε με αἰτῆναι καὶ μὴ μᾶλλον ὑπτεῖναι; κληθεὶς ὑπὸ δείπνου, οὐκ ἔφη παρέσεσθαι· μὴ γὰρ τοῦφον αὐτῷ χαρίσεσθαι ἐγνωκέναι. γυμνοῖς ποσὶ χιόνα ἐπάτει, καὶ τἄλλα ὅσα ἄνω τοῦ εἰρηται. καὶ ὠμὰ δὲ κρέα ἐπεχείρησε φαγεῖν, ἀλλ' οὐ διῴκησε. καταλάβετο ποτὲ Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ ἀεισῶντα. τῶ δ' ὑποχωροῦντι, Τοσοῦτος ἔφη, μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ. ξένων δέ ποτε θεάσασθαι θελόντων Δημοσθένην, τὸ μέσον δάκτυλον ἐκτείνας, Οὗτος ὑμῖν, ἔφη, ἐστὶν ὁ Ἀθηναίων δημαγωγός. ἐνδεῖλοντος δὲ ἄρτον ὄνος καὶ αἰχμωμένου ἀνελέσθαι, βουλόμενος αὐτὸν νουθετῆσαι, κεφαλὴν πράσιον δήσας, ἔσυρε διὰ τοῦ Κεραμεικοῦ. μιμεῖσθαι ἔλεγε τοὺς χοροδιδασκάλους. καὶ γὰρ ἐκείνους ὑπὲρ τόνον ἐνδιδόναι, ἕνεκα τοῦ τοὺς λοιποὺς ἅψασθαι τοῦ προσήκοντος τόνου. τοὺς πλείστους ἔλεγε τῷ μὲν δάκτυλον μαίνεσθαι. ἐὰν οὖν τις τὸ μέσον προτείνας πορεύηται, δίχα μαίνεσθαι· ἐὰν δὲ τὸν λιχανὸν, οὐκέτι. τὸ πολλοῦ ἄξια τοῦ μηδενὸς ἔλεγε πωλεῖσθαι, καὶ ἔμπαλιν. ἀνδριάντα γοῦν τοῦ τῶν χιλίων πωλεῖσθαι, χοίνικα δὲ ἀλφίτων, δύο χαλκῶν. τῷ τραγῳδῷ αὐτὸ Ξενιάδης φησὶ, Ἄγε ὅπως τὸ τοῦς τραπόμενον ποιήσῃς· τοῦ δ' εἰπόντος, Ἄνω ποταμοὶ χωροῦσι πάλιν· Εἰ δὲ ἰατρὸν ἐπρίω νοσοῦν, οὐκ ἄν, ἔφη, οὕτω ἐπείθου; ἀλλ' εἶπες ἂν ὡς ἄνω ποταμοὶ χωροῦσι πάλιν; ἤθελέ τις παρ'

αὐτῷ φιλοσοφεῖν. ὁ δέ οἱ σαπρόδλω δοὺς, ἐποίησεν ἀπολαθεῖν. ὡς δ' ὕστ' αἰδοῖς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαιτήσας αὐτὸ καὶ γελάσας λέγῃ, Τιὼ σὴν καὶ ἐμὼ φιλίαν σαπρόδης διέλυσε. Διοκλῆς δ' οὕτως αἰσχρόφει. εἴπέ τις ἴνος αὐτῷ, Ἐπίπαθε ἡμῶν διόγλυες, ἀπαγαγὼν αὐτὸ ἡμιβολίου πυὸν εἰδίδου φέρειν. ἀρνησαμένου δ', Τιὼ σὴν, ἔφη, καὶ ἐμὼ φιλίαν ἡμιβολίου πυείου διαλέλυκε. θεασάμενός πτε παιδίον τὸ χεῖρὶ πῖνον, ἐξέρριψε τῆς πήρας τιὼ κοτύλω, εἰπών Παιδίον με νενίκηκεν ἀπελεία. ἐξίβαλε δὲ καὶ τὸ βυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ ἄρτῳ τῦ ψωμίου τιὼ φακιῶ ὑποδεχόμενον. σωνελογίζετο δὲ καὶ οὕτως· Τῶν θεῶν ὅτι πάντα φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα ὅσι τῶν σοφῶν. θεασάμενος πτὲ γυναῖκα σωμπαρουσαν, βουλόμενος αὐτὸ ἀπελεῖν τιὼ δυσδαιμονίαν, (καθά φησι Ζωίλος ὁ Πδραῖος) ἀπελθὼν εἶπεν, Οὐκ ἀλαβῆ ὦ γύναι μή πτε θεοῦ ὄπωθεν ἐσῶπες, (πάντα γὰρ ὅσιν αὐτῦ πλήρη) ἀφημοσύνης; τῷ Ἀσκληπιῷ ἀνέθηκε πλίκτιν, ὃς τοὺς ὑπὲρ σῶμα πίνοντας ὑπερέχων σωνέπειθεν. εἰώθη δὲ λέγειν ταὺς τραγικὰς ἀρὰς αὐτῷ σωμπαρεῖναι. εἶδε γοῦν Ἄπλις, ἄοικος, παρείδος ἐστερημένος, Πτωχὸς, πλανήτης· βίον ἔχων εὐφημέσαν. ἔφασκε δὲ αἰπιδέναι τύχη μὲν θάρσος, νόμῳ δὲ φύσιν, παθὴ δὲ λόγον. ἐν τῷ Κερασείῳ ἡλιωμένῳ αὐτῷ Ἀλέξανδρος ὑπισὰς φησιν, Αἴτησόν με ὃ θέλεις· καὶ ὅς, Ἀποσκότησόν μου, φησί. μακρὰ γὰρ ἀναγινώσκοντος, καὶ πρὸς τῷ τέλει τῦ βιβλίου ἄγραφον παρεδείξαντος, Θαρρῶν (ἔφη) ἄνδρες· γὼ ὁρῶ. πρὸς τὸ συλλογισάμενον ὅτι κέρατα ἔχῃ, ἀναβάμενος τὸ μετώπου, Ἐγὼ μὲν (ἔφη) οὐχ ὁρῶ. ὁμοίως καὶ πρὸς τὸν εἰπόντα ὅτι πίνησις ὂν ἔστιν, ἀίρασας περιεπάτει. πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, Ποσαῖος, ἔφη, πάρη ἀπὸ τῦ οὐρανοῦ;

Ἀνούχου μοχθηροῦ ὀπτεράψαντος ὅτι τὴν οἰκίαν, Μηδὲν εἰσίτω κακόν· Ὁ οὖν κύριος, ἔφη, τῆς οἰκίας πῶς εἰσέλθοι; τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη, ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὴν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν, εἰς τὴν ὄσφρησιν. ἀξιούντων Ἀθηναίων μιμηθῆναι αὐτὴν, καὶ λεγόντων ὡς ἐν ᾅδου τρυφερίας οἱ μεμνημένοι τυγχάνοιεν, Γελοῖον, ἔφη, εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, ἀτελεῖς δέ τινες μεμνημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται. τοὺς δὲ εἰπόντας ὅτι τὴν τράπεζαν μοῦς, Ἰδού, φησὶ, καὶ Διογένης τρέφει. Πλάτωνος εἰπόντος αὐτὸν κύνα, Ναί, ἔφη, ἐγὼ γὰρ ἐπανῆλθον ὅτι τοὺς πεπρακότας. ἐν τῷ βαλανείῳ ἔξιών, τῷ μὲν πυθομένῳ εἰ πολλοὶ ἄνθρωποι λοῦνται, ἠρνήσατο· τῷ δὲ, εἰ πολὺς ὄχλος, ὡμολόγησε. Πλάτωνος ὁρισαμένου, Ἄνθρωπος ἐστὶ ζῷον δίπουν, ἄπτερον, καὶ ἀδοκιμαστὸν, πίλας ἀλεκτρυόνα εἰσενέγκας εἰς τὸν σχολὸν αὐτοῦ· καί φησιν, Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. ὅθεν τῷ ὄρῳ προσετέθη Τὸ πλατυώνυχον. τοὺς τὸν πυθόμενον ποία ὥρα δεῖ ἄριστον εἶναι, Εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ· εἰ δὲ πένης, ὅταν ἔχῃ. ἐν Μεγάροις ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνοὺς, ἔφη, λυσιτελέστερον εἶναι Μεγαρέως εἶναι κριὸν ἢ υἱόν. τοὺς τὸν ἀναξάμενα αὐτῷ τὴν δίκην, εἶτα εἰπόντα, Φύλαξαι· Πάλιν γάρ με, ἔφη, παίειν μέλλεις; ἔλεγε τοὺς μὲν δημαγωγοὺς, ὄχλου διακόνους· τοὺς δὲ στεφανίους, δόξης ἀγαθήματα. λύχνον μεθ' ἡμέραν ἅψας, Ἄνθρωπον, φησὶ, ζητῶ. εἰσήκει ποτὲ καταχρουνιζόμενος· τῶν δὲ παρεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη, Εἰ οὐ λεαθῆναι αὐτὸν ἐλεῆσαι ἀπόκριναι· ἐνδεικνύμενος φιλοδοξίαν αὐτοῦ. ὑποτείψαντος αὐτῷ κόνδυλον τινὸς, Ἡράκλεις, ἔφη, οἷόν με χρῆμα ἐλαύνατε, τὸ μὴ δεῖν κεφαλαίας προπατεῖν. δημοσίᾳ δὲ Μειδίου κονδυλίσαντος

αὐτὸν, καὶ εἰπόντος Τετρακισχίλιαί σοι κεῖνται ὑπὸ τῆ τραπέζη, τῆ ἐξῆς πυκτικὴ λαβὼν ἱμάντας, καὶ καταλοήσας αὐτὸν, ἔφη, Τετρακισχίλιαί σοι κεῖνται ὑπὸ τῆ τραπέζη. Λυσίου δὲ φαρμακοπώλου πυθομένου εἰ θεοὺς νομίζει, Πῶς γὰρ, εἶπεν, οὐ νομίζω, ὅπου καί σε θεοῖς ἐχθρὸν ὑπολαμβάνω; οἱ δὲ, Θεόδωρον εἰπεῖν τοῦτο. ἰδών ποτε παρρησιαζόμενον, ἐπεῖπεν, Ὦ κακοδαίμων, οὐκ ὀκνήσασαν ὅπως τὴν ἐν γραμματικῇ ἁμαρτίαν παρρησιάζῃ ἀνὴρ αἰσχρὰ ἁμαρτάνων; οὕτως οὐδὲν ἐν τῷ βίῳ διακαλεῖ τοῖς ἀνθρώποις ὡς ἡ τῆς τύχης, αἰτιᾶσθαι λέγειν αὐτοὺς ἀγαθὰ ἑαυτοῖς δοκοῦντα, καὶ οὐ τὰ κατ' ἀλήθειαν. πρὸς δὲ τοὺς περὶ τὰ ὀνείρατα ἐπονειδίστους ἔλεγε, ὡς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ, ἐν ὄψει φέρονται· ὑπὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραγμονοῦσιν. Ὀλυμπιάσι τὸ κήρυκος ἀνειπόντος, Νικᾷ Διώξιππος ἀνδρας· Οὗτος μὲν δὴ ἀνδράποδα, ἄνδρας δὲ ἐγώ. ἠγαπᾶτο δὲ καὶ πρὸς Ἀθηναίων. μειρακίου γοῦν τὸν πῶγον αὐτῷ σωπεύσαντος, τῷ μὲν πλείονας ἔδοσαν, ἐκείνῳ δὲ ἄλλον παρέχον. φησὶ δὲ Διονύσιος ὁ Στωϊκὸς ὡς μετὰ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον. καὶ ἐρωτηθεὶς πῶς εἴη, Κατάσκοπος, ἔφη, τῆς σῆς ἀπληστίας. ὅθεν θαυμασθεὶς ἀφείθη. Ἀλεξάνδρου πρὸς πέμψαντος ἐπιστολὴν πρὸς Ἀντίπατρον εἰς Ἀθήνας διὰ Διονίου Ἀθλία, παρὼν ἔφη, Ἀθλίας παρ' Ἀθλίου διὰ Ἀθλίου πρὸς Ἄθλιον. Περδίκκου ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτὸν, ἀποκτενεῖν, ἔφη, Οὐδὲν μέγα· καὶ γὰρ κάνθαρος καὶ φαλάγγιον τοῦτ' ἂν ποιήσειεν. ἐκεῖνο δὲ μᾶλλον ἀπειλεῖν ἄξιον, ὡς Εἰ καὶ χωρὶς ἐμοῦ ζῆσαι δύναμαι οὕτως ζήσεσθε. ἐθέα πολλάκις λέγων τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκρύφθαι δὲ αὐτὸν ζητοῦντων μελίπηκτα καὶ μύρα καὶ τὰ τοιαῦτα πλήσαντα. ὅθεν πρὸς τὸν ὑπὸ τῶν οἰκείων ὑποδούμενον, Οὔπω (εἶπε) μακάριος εἶ, ἂν μή σε καὶ ὑπομύξῃ τοῦτο

ἢ ἔσαι πιρωδένδι σοι τὰς χῖρας. θεασάμενος ποτὲ τοὺς ἐρομνήμονας τῶν Ταμίων τινὰ φιάλιον ὑφιρημένον ἄγον τας, ἔφη, Οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἄγουσι. θεασάμενος ποτὲ μειράκιον λίθους βάλλον ὅπι σαυρὸν, Εὖγε, ἦπε· πεύξη γὰρ τὸ σκοπόν. τοὺς τὰ θείσαντα μειράκια, καὶ ὑπόντα, Βλέπομεν μὴ δάκνῃς ἡμᾶς, Θαῤῥεῖτε, ἔφη, παιδία. κύων τευτλία οὐκ ἐσθίει. τοὺς τ' ὅπι τῇ λεοντῇ δρυπτόμενον, Παῦσαι, ἔφη, τὰ τῆς ἀρετῆς σχήματα καταισχύνων. τοὺς τ' μακαριζόμενον Κθησιθέᾳ, καὶ λέγοντα ὡς πολυτελῶν ὧν δεῖ Ἀλεξικάκῳ μετέχει, Κακοδαίμων ἂν οὖν ὅδιν, εἶπεν, ὃς καὶ ἀρίστᾳ καὶ δειπνεῖ ὅταν Ἀλεξάνδρῳ δόξῃ. χρημάτων δεόμενος, ἀπαιτεῖν ἔλεγε τοὺς φίλους, οὐκ αἰτεῖν. ἐπ' ἀγορᾶς ποτε χαρουργῶν, Εἰ δὲ, ἔφη καὶ τὴν κοιλίαν ἐπ' ὀβολοῦ πρίαντα μὴ πεινῆν. μειράκιον θεασάμενος μετὰ σαπρῶν ὅπι δεῖπνον ἀπὸν, ἀποπαύσας ἀπήγαγε τοὺς οἰκείους, καὶ ἐκέλευε τηρεῖν. τοὺς τὸ κεκοσμημένον μειράκιον πυθόμενόν τι, ἔφη οὐ θέτερον λέξειν αὐτῷ, εἰ μὴ αἰσθησόμενος δείξειε πότερον γυνή ὅδιν ἢ ἀνήρ. τοὺς τὸ καταβίζον ἐν τῷ βαλανείῳ μειράκιον φησὶν, Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον. ἐν δείπνῳ τοῖς ἐρρίπτουν αὐτῷ τινὲς ὀστέα ὡς κυνί· καὶ ὃς ἀπαλλαττόμενος τοῖς ἐσούρησεν αὐτοῖς ὡς κύων. τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογουμένους, πείσαν ἄνθρωπος ἀποκάλει, αὐτὸ τ' βισαθλίους. τὸν πλούσιον ἀμαθῆ, θέβαθον εἶπε χρυσόμαλλον. θεασάμενος ὅπι ἀσώτου οἰκία ὅπιγεγραμμένον, Πρόσοψις, Ἠδύ, εἶπεν, ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσεις τὴν κεκτημένον. τοὺς τὸ καταισχύνον μειράκιον τὸ πλῆθος τῶν ἐνοχλούντων, Παῦσαι γὰρ, ἔφη, καὶ σὺ τὰ δείγματα τῆς παχυλωσύνης φέρων. τοὺς τὸ ὑπαρὶν βαλανεῖον, Οἱ ἐνθάδε, ἔφη, λουόμενοι, ποῦ λέουσι; παχέος κιθαρῳδοῦ τοὺς πάντων μεμφομένου, αὐτὸς μόνος ἐπῄνει. ἐρωτηθὶς ὃ δεῖ τί, ἔφη, Ὅτι

πλικοῦτος ὢν κιθαρῳδεῖ, καὶ οὐ λησεύει. τὸν κιθαρῳδὸν ἀεὶ καταλειπόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο. Χαῖρε ἀλέκτωρ. τὸ ἦ, εἰπόντος, Διὰ τί; Ὅτι (ἔφη) ἄδων πάντας ἐγείρεις. μειρακίου δεδεκυμμένου πληρώσας τὸ ωεσκόλπιον αἴπικρις θέρμων ἐκαμψε. τὸ ἦ πλήθους εἰς αὐτὸν ἀφορώντος, θαυμάζειν ἔφη πῶς ἐκεῖνον ἀφέντες αὐτὸν ὁρῶσι. λέγοντος ἦ αὖτις τινὸς ἰσχυρῶς δεισιδαίμονος, μιᾷ πληγῇ τὸ κεφαλῶ σου διαῤῥήξω, Ἐγὼ δέ γε εἶπε, παρὼν δᾶς ἀειστρῶν τρέμειν σε ποιήσω. Ἡγησίᾳ ωᾶδε καλοῦντος χρῆσαί τι αὖτις τῶν συγγεγραμμάτων. Μάταιος, ἔφη, τυγχάνεις, ὦ Ἡγησία, ὃς ἰχάδας μὲν χαπλὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς· ἄσκησιν ἦ παιδὸς τὸ ἀληθινὸν, ὅτι τὸ γεγαμμένον ὁρμᾷς. ωεῤ τε τὸν ὀνειδίσαντα αὖτις τὸ φυγεῖν, Ἀλλὰ ζῆτυ γε ἔνεκεν, εἶπεν, ὦ κακόδαιμον, ἐφιλοσόφησα. καὶ πάλιν, ὁπόταν τις τινὸς, Σινωπεῖς σὺ φυγεῖν καταγνωσαν, Ἐγὼ δέ γε, ἔφη, ἐκείνων μᾶλλον. ἰδών ποτε Ὀλυμπιονίκην ωεῤβαίνοντα, Ταχέως, εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ὅτι τὰ Νέμεα. ἐρωτηθεὶς διὰ τί οἱ ἀθληταὶ αἰσθητικοί εἰσιν, ἔφη, Ὅτι κρέασιν ὑείοις καὶ βοείοις αἰωροδόμηνται. ἤπερ ποτὲ αἰδρίαντα· ἐρωτηθεὶς ἦ διὰ τί ἕτοιμοι ποιεῖ, Μελετῶ, εἶπεν, ἀποτυγχάνειν. αἴτησίν τινα (καὶ γὰρ ἤτει ωεῤῥόν τινα ἐπίτασιν διὰ τὴν ἀπορίαν) ἔφη, Εἰ μὴ καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ ἦ μηδενὶ, ἀπ' ἐμοῦ ἄρξαι. ἐρωτηθεὶς ποτε ὑπὸ τῶ τυράννου πῶς ἂν εἴη ἀμείνων χαλκὸς εἰς αἰδρίαντα, ἔφη, Ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐχαλκεύθησαν. ἐρωτηθεὶς πῶς χρῆται Διονύσιος τοῖς φίλοις, ἔφη, Ὡς θυλάκοις· τοὺς μὲν πλήρεις κριμνῶν, τοὺς ἦ κενοὺς ῥίπτων. νεογάμου ὑπογράψαντος ὑπὲρ τῶν οἰκίαν, Ὁ τῶ Διὸς παῖς Ἡρακλῆς καλλίνικος ἐνταῦθα κατοικεῖ, μηδὲν εἰσίτω κακόν· ἐπέγραψε, Μετὰ τὸν πόλεμον ἡ συμμαχία. τὸν φιλάργυρον εἶπε μητρόπολιν

πάντων τῶν κακῶν. ἄστατον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη, Εἰ οὕτως ἦεισας, οὐκ ἂν οὕτως ἐδεί-πνεις. τοὺς ἀγαθοὺς ἀνδρας, θεῶν εἰκόνας εἶ). τὸ ἔρωτα, σχολαζόντων ἀσχολίαν. ἐρωτηθεὶς τί ἄθλιον ἐν βίῳ, ἔφη, Γέρων ἄπορος. ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη, Τῶν μὲν ἀγρίων, συκοφάντης· τῶν δὲ ἡμέρων, κόλαξ. ἰδὼν ποτε δύο κιναίδους κάκιστα ἐξωχαφημένους, ἔφη, Πότερος τούτων χείρων ὄδε; τὸν τοὺς χαίειν λόγον, ἔφη μελιτίνῳ ἀσχόνῳ εἶ). τὴν γαστέρα, χάρυβδιν ἔλεγε τὸ βίου. ἀκούσας ποτὲ ὅτι Διδύμων ὁ μοιχὸς σωθελήφθη, Ἄξιος, ἔφη, ἐκ τοῦ ὀνόματος κρέμασθαι. ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, Ὅτι πολλοὶς ἔχθρὸς ὑπεβουλεύοντας. ἰδὼν γυναῖκα ἐν φορείῳ, Οὐχὶ τὸ θηρίον, ἔφη, ἡ γαλεάγρα. ἰδὼν δραπέτην ὑπὸ φρέαρ καθήμενον, ἔφη, Μεγέθους, βλέπε μὴ ἐμπέσῃς. ἰδὼν μαζοκλέπτην ἐν τῷ βαλανείῳ, ἔφη, Ἐπ' ἀλειμμάτιον ἢ ἐπ' ὀβολὸν ἱμάτιον; ἰδὼν ποτε γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονισμένας, Εἴθε γὰρ, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἐφέρετο. ἰδὼν λωποδύτην, ἔφη,

-- πάλιν σὺ ὧδε φέρεσθε,

Ἢ τίνα συλήσων νεκύων καταθνητῶν;

ἐρωτηθεὶς εἰ παιδίσκαριον ἢ παιδάριον ἔχοι, ἔφη, Οὔ. τὸ γὰρ, εἰπόντος, Ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει; ἔφη, Ὁ χήτων τὰς οἰκίας. μειράκιον δύμορφον ἀφυλάκτως ἰδὼν κοιμώμενον, νύξας, Ἐπέγρα, ἔφη,

Μή τις τοι δοῦρον μεταφρένῳ ἐν δόρυ πήξῃ.

θεὸν τὸν πλουτοδώτην ὀμνύοντα,

Ὠκύμορος δή μοι τέκος ἔστεαι, οἷ' ἀγορεύεις;

Πλάτωνος θεὶ ἰδέων διαλεγομένου, καὶ ὀνομάζοντος βαπτιζότητα καὶ καθότητα, Ἐγὼ, εἶπεν, ὦ Πλάτων, τραπεζαν μὲν καὶ κύαθον ὁρῶ· τραπεζότητα δὲ καὶ καθότητα, οὐδαμῶς. καὶ ὅς, Κατὰ λόγον, ἔφη· οἷς μὲν γὰρ κύαθος

πράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχας· ὦ δὲ πραπεζόπης καὶ κυαθόπης βλέπεται, τοῦτ' οὐκ ἔχις. ἐρωτηθὶς ὑπό τινος, Πεῖός τις σοί, Διόγλυες, δοκεῖ Σωκράτης; εἶπε, Μαινόμβμος. ἐρωτηθεὶς πότε καιρῷ δεῖ γαμεῖν, ἔφη, Τοὺς μὲν νέους μηδέπτε, πὰς δ' πρεσβυτέρους μηδὲ πώπτε. ἐρωτηθὶς πῶς τέλοι κατδύλου λαβεῖν, Περικεφαλαίαν, ἔφη. μειρακίων ἰδὼν καλλωπιζόμενον, ἔφη, Εἰ μὲν πρὸς ἄνδρας, ἀπυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. ἰδών πο τε μειρακίων ἐρυθριῶν, Θάρρει, ἔφη, τοιοῦτον ὄντι τῆς ἁρετῆς τὸ χρῶμα. δι οἶν πτε νομικοῖν ἀκούσας, τοὺς δύο καὶ τέκμενεν εἰπών, τὸν μὲν κεκλοφέναι, τὸν δὲ μὴ ἀπολωλεκέναι. ἐρωτηθεὶς πῖον οἶνον ἡδέως πίνει, ἔφη, Τὸν ἀλλότριον. πρὸς τὸν εἰπόντα, Πολλοί σου καταγελῶσι, Ἀλλ' ἐγώ, ἔφη, οὐ καταγελῶμαι. πρὸς τὸν εἰπόντα κακὸν εἶναι τὸ ζῆν, Οὐ τὸ ζῆν, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν. πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδραίτα αὐτῷ δοῦλον ζητεῖν, Γελοῖον, ἔφη, εἰ Μανὶς μὲν χωρὶς διογλύους ζῇ, Διογλυὴς δὲ χωρὶς Μαίου οὐ δυνάται. ἁρισῶν ἐλάας, πλακουῶντος εἰσενεχθέντος, ῥίψας, φησὶν,

Ὦ ξένε, τυραννοις σκηπτὸν μεθίσασο. Ἐς δήμοτε, μάτιξεν δ' ἐλάαν.

ἐρωτηθὶς ποταπὸς εἴη κύων, ἔφη, Πεινῶν, Μελιταῖος. χορταθὶς δ', Μολοσσικός. οὓς ἐπαινοῦντος οἱ πολλοὶ τὸ δειλὸν μᾶλλον τοῦ πόνου συνεξιέναι αὐτοῖς ὅτι πλὼ θήσαν· οὕτως οὐδὲ ἐμοὶ δυνάσθαι συμβιοῦν, διὰ τὸν φόβον τῶν ἀλγηδόνων. ἐρωτηθεὶς εἰ σοφοὶ πλακοῦντα ἐθίσιοι, Παίδ', ἔφη, ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι. ἐρωτηθὶς διὰ τί θεοὶ μὲν ὀπτῶσι, φιλοσόφους δὲ οὔ, ἔφη, Ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ ζῆν ἔθελοι ἐλπίζουσι φιλοσοφῆσαι δ', οὐδέποτε. φιλάργυρον ἤπι τὸ δὲ, βεβαιώσοντα, Ἄνθρωπε, εἶπας εἰς ταφὼ σε αἴτω, οὐκ εἰς ταφώ. ὀνειδιζόμενος πτὲ ὅτι τῷ θαλάττῃ τὸ νόμισμα, ἔφη, Ἦν πτε

χρόνος ἐκεῖνος ὅτ' ἤμελλω ἐγὼ ζιοδοτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ οὐδέποτε. καὶ πρὸς ἄλλον ὅπη τὸ αὐτὸ ὀνειδίσαντα, Καὶ γὰρ ἐνεούρουν ἄπαλον· ἀλλὰ νῦν, οὔ. εἰς Μιλητον ἐλθὼν, καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν ἂν ποτε πόλιν, Ἄνδρες Μιλήσιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ. θεασάμενος ποτὲ πορφυροκλέπτην πεφωραμμένον, ἔφη,

Ἔλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

Κρατερὸν ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, Ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἅλα λείχειν, ἢ παρὰ Κρατερῷ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, Ἐπίδος καὶ ἡμῖν, ἔφη, ζοῖς πλοκοῖς τῆς γαστρός. καὶ γὰρ αὐτὴς κουφισθήσῃ, καὶ ὑμᾶς ὠφελήσῃς. διαλεγομένου ποτὲ αὐτῷ, τάχιον προσπίνας περιέσασε ζοὺς ἀκροατάς· ἀγανακτοῦντος δ', Τοῦ Ἀναξιμένους, ἔφη, διάλειξιν ὁλόκληρος τάχιος διαλέλυκεν. ὀνειδιζόμενος ποτὲ ὅτι ἐν ἀγορᾷ ἔφαγε, Ἐν ἀγορᾷ γὰρ, ἔφη, καὶ ἐπείνησα. ἔνιοι δὲ τοῦτο φασὶν εἰπεῖν καὶ πρὸς ἐκεῖνο, ὅτι Πλάτων θεασάμενος αὐτὸν λάχανα πλύνοντα, προσελθὼν ἡσυχῇ εἶπεν αὐτῷ, Εἰ Διονύσιον ἐθεράπευες, οὐκ ἂν λάχανα ἔπλυνες. τὸν δὲ ἀποκρίνασθαι ὁμοίως ἡσυχῇ, Καὶ σὺ εἰ λάχανα ἔπλυνες, οὐκ ἂν Διονύσιον ἐθεράπευες. πρὸς τὰ εἰπόντα, Οἱ πλείους σου καταγελῶσι· Κἀκείνων πυθόμενον, εἶπεν, οἱ ὄνοι. ἀλλ' οὔτ' ἐκεῖνοι ὧν ὄνων ὑπερέφονται, οὔτε ἐγὼ ἐκείνων. θεασάμενος μειράκιον φιλοσοφοῦν, Εὖγε, εἶπεν, ὅτι ζοῦ τὸ σώματος ἐρᾷς ὑπὸ τοῦ τῆς ψυχῆς κάλλους μετάγῃ. θαυμάζοντος τινὸς τὰ ἐν Σάμῳ ῥάκη ἀναθήματα, ἔφη, Πολλῷ ἂν εἴη πλείω εἰ καὶ οἱ μὴ θέντες ἀνέκειντο. οἱ δ', τοῦτο Διαγόρου φασὶ τοῦ Μηλίου. ἀμόρφῳ μειρακίῳ ἀπόνῳ εἰς συμπόσιον, ἔφη, Χάρων ἐπαιτήσεις. τῷ δ' ἐπαινέλθοντος καὶ τῇ ἐξῆς εἰπόντος,

Καὶ ἀπῆλθον, καὶ χείρων ὄκ ἐγνώμων ἔφη, Χείρων μὲν οὖ, Εὐρυπίων δέ. δύσκολον ἦπει. τῷ δ' εἰπόντος, Ἐὰν μὲ πείσῃς ἔφη, Εἰ σε ἐδυνάμην πεῖσαι, ἔπεισά σε ἂν ἀπάλ-ξασθαι. ἐπανήρχετο ὀκ Λακεδαίμονος εἰς Ἀθήνας· ὡς δ' οὖν τὸν πυθόμενον, Ποῖ καὶ πόθεν; Ἐκ τῆς ἀνδρωνίτι-δος, εἶπεν, εἰς τὸ γυναικωνίτην. ἐπανῆει ἀπὸ Ὀλυμπί-ων· ὡς δ' οὖν τὸν πυθόμενον εἰ ὄχλος ἔστι πολύς, Πολύς μέν, εἶπεν, ὁ ὄχλος· ὀλίγοι δ' ἄνδρωποι. ὡς ἀσώτους εἶπε πα-ραπλησίους εἶναι συκαῖς ὅτι κρημνῶν πεφυκυίας· ὧν τὸ καρπὸν μὲν ἄνδρωπος ὀκ ἀποχύσεται, κορακες δὲ καὶ γύ-πες ἐσθίουσι. Φρυνίης Ἀφροδίτην χρυσῆν ἀνατεθεικὼς ἐν Δελφοῖς, ὅτην ὑπεκάλαβε, τῆς ἀπὸ τῶν Ἑλλήνων ἀκρασίας. Ἀλεξάνδρῳ ποτὲ ὑπισχνουμένῳ αὐτῷ, καὶ ἅπαντα, Ἔχω εἰμὶ Ἀ-λέξανδρος, ὁ μέγας βασιλεύς· Κἀγὼ, φησὶ, Διογένης ὁ κύ-ων. ἐρωτηθεὶς τί ποιῶν, κύων καλεῖται, ἔφη, τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. ἀπὸ συκῆς ὠπώριζε· τῶν δὲ φυλαττόντων εἰπόντος, Αὐτὸ θεὸν ποιοῦσιν· ἄνδρωπος ἀπήγξατο, Ἔγωγ' οὖν, φησὶν, αὐτὴν κα-θαίρω. ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀπε-νίζοντα, Ἴδε, ἔφη, κριὸν ἀρσενικὸν, ὡς ὑπὸ τῶν τυχόν-των κορασίων προσκαλίζεται. τοὺς ἀπορρεπεῖς ἑταίρας ἔλε-γε θανασίμῳ μελικράτῳ παραπλησίας εἶναι. ἀριζῶνα αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον, Κύον. ὁ δὲ, Ὑμεῖς, εἶπεν, ἐστὲ κύνες οἵ με ἀεὶ περιεστήκατε. δύο μαλακῶν περικρυπτομένων αὐτὸν, ἔφη, Μὴ ἀλλαβεῖ-σθε. κύων πύτλα οὐ πρώλα. παῖδος πορνευκότος ἐρωτηθεὶς πόθεν εἴη, Τεγεάτης, ἔφη. ἀφυῆ παλαιστὴν θεασάμενος ἰατρεύοντα, ἔφη, Τί πάσχει; ἢ ἵνα τοὺς ποτὲ σε νικήσαντας νῦν καταβάλῃς; θεασάμενος ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, Πρόσεχε, ἔφη, μὴ τὴν πατέρα πλήξῃς. δείξαντος αὐτῷ παιδαρίου μάχαιραν, ὧν ἐπέλιπεν ἀσκὸς ἔφη, Ἡ μὲν μάχαιρα, ἔφη, καλή· ἡ δὲ

λαβὴ, αἰχρά. ἐπαινούντων τινὰς τὸν ὀπτὸν ἄρτον αὐτῷ, ἔφη, Ἐμὲ δ' οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν; ἀπαιτούμενος ὑπό τινος τρίβωνα, ἔφη, Εἰ μὲν ἔχω εἶσω, ἔχω· εἰ δ' ἔχρησας, χρῶμαι. ὑποβολιμαίου τινὸς εἰπόντος αὐτῷ ὅτι χρυσὸν ἔχει ἐν τῷ ἱματίῳ, Ναὶ, ἔφη, διὰ τοῦτο αὐτὸ ὑποβεβλημένος κοιμῶμαι. ἐρωτηθεὶς τί αὐτῷ ὠφελήκοι ἐκ φιλοσοφίας, ἔφη, Καὶ εἰ μηδὲν ἄλλο, τό γε θεοῖς πᾶσαν τύχην παρεσκευάσθαι. ἐρωτηθεὶς πόθεν εἴη, Κοσμοπολίτης, ἔφη. θυόντων τινῶν τοῖς θεοῖς ὑπὲρ τῆς ὑγιείας, ἔφη, Περὶ δὲ τοῦ ποδαπὸς ἐκβῇ, οὐ θύετε; ἔρανόν ποτε αἰτούμενος, πρὸς τὸν ἐραναρχοῦντα, ἔφη,

Τοὺς δίχα ἐναρίζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

τὰς ἑταίρας, ἔφη βασιλέων εἶναι βασιλίσσας. αἰτεῖν δὲ ὅπα αὐδόξῃ αὐτάς. ψηφισαμένων Ἀθηναίων Ἀλέξανδρον Διόνυσον, Κἀμὲ, ἔφη, Σάραπιν ποιήσατε. πρὸς τὸν ὀνειδίζοντα ὡς εἰς τόπους ἀκαθάρτους εἰσίοι, Καὶ γὰρ ἥλιος, ἔφη, εἰς τοὺς ἀποπάτους, ἀλλ' οὐ μιαίνεται. ἐν ἱερῷ δεῖπνῶν, μεταξὺ ῥυπαρῶν ἄρτων πραθέντων, ἅρας αὐτοὺς ἔῤῥιψεν, εἰπὼν εἰς ἱερὸν μηδὲν δεῖν ῥυπαρὸν εἰσφέρειν. πρὸς τὸν εἰπόντα, Οὐδὲν εἰδὼς φιλοσοφεῖς, ἔφη, Εἰ καὶ μὴ προσποιοῦμαι Σοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι. πρὸς τὸν σωισαντα τὸν παῖδα, καὶ λέγοντα ὡς ἀφυέστατος ἐστι, καὶ τὰ ἤθη κράτιστος, Τί οὖν, εἶπεν, ἐμοῦ χρῄζει; τοὺς λέγοντας μὲν τὰ σπουδαῖα, μὴ ποιοῦντας δὲ, ἔλεγε μηδὲν διαφέρειν μαθητὰς καὶ τοῦτο μήτε ἀκούειν μήτε μανθάνεσθαι. εἰς θέατρον εἰσιὼν ἐναντίος τοῖς ὀψοφάγοις· ἐρωτηθεὶς δέ τι, Τοῦτο, ἔφη, παντὶ τῷ βίῳ ὑπεναντίον ποιεῖν. ἰδών ποτε νεανίσκον θηλυπρεπῆ, Οὐκ αἰσχύνῃ, ἔφη, χείρονα τῆς φύσεως σεαυτὸν βουλόμενος; ἢ μὴ γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα εἶναι. ἰδών ἄφρονα φαλακρὸν ἁρμοζόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, τοὺς μὲν θρόνους τῷ ξύλῳ προσαρμόττων, τὴν δὲ ψυχὴν

εἰς τὸν βίον μὴ ἁρμόττων; πρὸς τὸν εἰπόντα, Ἀνεπιτήδειος εἰμὶ πρὸς φιλοσοφίαν, Τί οὖν, ἔφη, ζῇς, εἰ τὸ καλῶς ζῆν μὴ μελήσει σοι; πρὸς τὸν καταφρονούμενον τὸ παῖδος, Οὐκ αἰσχύνῃ, ἔφη, καταφρονῶν τοῦ παιδὸς ὃν μέγα φρονεῖς; ἰδὼν ἀπρεπῶς νεανίσκον ἀπρεπῶς λαλοῦντα, Οὐκ αἰσχύνῃ, ἔφη, ὃς ἐν ἐφαπτῷ κολεοῦ μολιβδίνῳ ἕλκων μάχαιραν; ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, Καὶ ἐν κυρείῳ, φησὶ, πείρομαι. ὀνειδιζόμενος ὅτι πρὸς Διπάτρου πεδώνιον ἔλαβεν, ἔφη,

Οὔτοι ἀπίβλητ' ὅστις θεῶν εἰληχυῖα δῶρα.

πρὸς τὸν ἀσεισάντα αὐτῷ δοκόν, εἶτα εἰπόντα; Φύλαξαι, πλήξας αὐτὸν τῇ βακτηρίᾳ, εἶπε, Φύλαξαι. πρὸς τὸν λιποροῦντα τῇ ἑταίρᾳ, Τί θέλεις, ἔφη, τυχεῖν, ὦ παλαίπωρε, οὐ τὸ ἀπολαῦσαι ἄμεινον ὅτι; πρὸς τὸν μωλιζόμενον, Βλέπε, εἶπε, μή ποτε τῆς κεφαλῆς σου ὠδῖνα δι' ὠδῖνα σου τῷ βίῳ παράσχῃ. τοὺς μὲν οἰκέτας ἔφη δεσπότας, τοὺς δὲ φαύλους ὑπὸ θυμίας δουλεύειν. ἐρωτηθεὶς διὰ τί ἀνδράποδα σκληρὰ θῆται, Ὅπως, φησὶ, τοὺς πόδας ἀνδρῶν ἔχῃ, τὴν δὲ ψυχὴν οἵαν σὺ νῦν ὁ ἐξεταζόμενος. ἄσωτον ἤτει μνᾶν· πυθομένου δὲ διὰ τί τοῖς μὲν ἄλλοις ὀβολὸν ζητεῖ, αὐτὸς δὲ μνᾶν, Ὅτι, εἶπε, παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν· παρὰ δὲ σοῦ, θεῶν ἐν γοῦν ἀπόντων εἰ πάλιν λήψομαι. ὀνειδιζόμενος ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος; Κἀκεῖνος, εἶπεν, αἰτεῖ· ἀλλ'

Ἄγχι γὰρ κεφαλῆς, ἵνα μὴ πολυθρυλήτου οἱ δῆμοι.

ἰδὼν ποτὲ ὀπτὸν ἄφυκτον, πρὸς τὴν σκοπὴν ἐκάθισεν, εἰπών, Ἵνα μὴ πληγῶ. τοὺς ἐρῶντας ἔφη πρὸς ἡδονὴν ἀτυχεῖν. ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, Πῶς, εἶπε, κακὸς, οὗ παρόντος οὐκ αἰσθανόμεθα; πρὸς Ἀλέξανδρον ὀψησάμενον, καὶ εἰπόντα, Οὐ φοβῇ με; Τί γάρ, εἶπεν, εἰ ἀγαθὸν, ἢ κακόν; τοῦ δὲ εἰπόντος, Ἀγαθόν· Τίς οὖν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται; τὸν παιδίαν εἶπεν

τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις φρόνησιν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. πρὸς Διδύμωνα τὸν μισοῦντα ἰατρεύοντά ποτε κόρης ὀφθαλμὸν, ὅτι (φησὶ) μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου ἰατρεύων, τὴν κόρην φθείρεις. εἰπόντος τινὸς ὅτι ὑπὸ τῶν φίλων ἐπιβουλεύεται, Καὶ τί δεῖ πρᾶξαι, ἔφη, εἰ δεήσει τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς ὁμοίως χρῆσθαι; ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις, ἔφη, Παρρησία. εἰσελθὼν εἰς διδασκάλου, καὶ μούσας μὲν ἰδὼν πολλὰς, μαθητὰς δὲ ὀλίγους, Σὺ θεοῖς; ἔφη, διδάσκαλε πολλοὺς μαθητὰς ἔχεις. εἰώθει δὲ ταῦτα ποιεῖν ἐν τῷ μέσῳ, καὶ τὰ Δήμητρος καὶ τὰ Ἀφροδίτης. καὶ τοιοῦτός τινας ἐρώτα λόγους, Εἰ τὸ ἀριστᾶν μηδὲν εἴη ἄτοπον, οὐδὲ ἐν ἀγορᾷ δεῖν ἄτοπον. οὐκ ἔστι δὲ ἄτοπον τὸ ἀριστᾶν· οὐδὲ ἐν ἀγορᾷ δεῖν ἄπορον. χειρουργῶν τε ἐν τῷ μέσῳ συνεχές, Εἴθε ἦν, ἔλεγε, καὶ τὴν κοιλίαν τοιαύτην μάθειν τὸν λιμοῦ παύσασθαι. ἀναφέρεται δὲ καὶ ἄλλα εἰς αὐτὸν, ἃ μακρὸν ἂν εἴη καταλέξαι, πολλὰ ὄντα. διδοὺς δὲ ἔλεγχον εἰς τὴν ἄσκησιν· τὴν μὲν, ψυχικὴν· τὴν δὲ, σωματικήν· ταύτην καθ' ἣν ἐν γυμνασίᾳ συνεχεῖς γινόμεθα φαντασίαι, ἁλισίαν τοὺς τῆς ἀρετῆς ἔργα παρέχοντας. εἰς δὲ ἀτελῆ τὴν ἐπέραν χωρεῖς τῆς ἑτέρας, οὐδὲν ἧττον ἀνεξίας καὶ ἰσχύος ἐν τοῖς σωφρονοῦσιν ἡγουμένης, ὡς δεῖ τὴν ψυχὴν καὶ τὸ σῶμα. παρεπίθετο δὲ πιθανῶς τὸ ῥᾳδίως ἀπὸ τῆς γυμνασίας ἐν τῇ ἀρετῇ καταγίνεσθαι. ὁρᾶν τε ἔν τε ταῖς πάλαις ταῖς βιαίοις καὶ ταῖς ἄλλαις οὐ τὴν τυχοῦσαν ἐξευχρηστίαν τοὺς παλαίστας ἀπὸ τῆς μελέτης ἐποιημένους· τοὺς τε αὐλητὰς καὶ τοὺς ἀθλητὰς, ὅσον ἐπιφέρουσιν ἕκαστοι τῇ ἰδίᾳ πονήσει τῇ συνεχεῖ. καὶ ὡς οὐδὲν εἰ μετῆνεγκαν τὴν ἄσκησιν ἢ ὅτι τὴν ψυχὴν, ἵνα μὴ αἰσφελῶς καὶ ἁπλῶς ἐμόχθουν. οὐδέ γε μὴν ἔλεγε θαῤῥᾶτε

ἐν τῷ βίῳ χωεὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὸν ἢ ἔστι τινὰ παῦ ἐνικῆσαι. δέον οὖν, ἀπὸ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους, ζῆν εὐδαιμόνως, ὥστε τινὰ αἴσιαν καὶ εὐδαιμονοῦσι. καὶ γὰρ αὐτῆς τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυπάθειαν ὡς μελετηθεῖσα. καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν, ἀηδῶς ὅταν τύχωσι πόνων μεταπίπτουσιν· οὕτω οἱ τύχωσι πόνων ἀσκηθέντες, ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι. τοιαῦτα διελέγετο καὶ ποιῶν ἐφαίνετο, ὄντως νόμιμα ὠφελοῦντα ἐπῶν, μηδὲν οὕτω τοῖς κατὰ νόμον ὡς τοῖς κατὰ φύσιν διδούς· τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν ὅνπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων. πάντα τῶν σοφῶν εἶναι λέγων, καὶ τοιούτους λόγους ἐρωτᾶν οἵους κἀγὼ προεῖρηκα μικρῷ πρόσθεν. Πάντα τῶν θεῶν ὄντι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν. πρός τε τὸν νόμον, ὃν χρεὼν αὐτὸν οὐχ οἷόν τε πολιτεύεσθαι, Οὐ γάρ, φησίν, αἴθε πόλεως ὄφελος ἦν εἶναι ἀστείου· ἀστεῖον δὲ ἡ πόλις· νόμου δὲ αἴθε πόλεως οὐδὲν ὄφελος· ἀστεῖον ἄρα ὁ νόμος. ἀληθείας δὲ καὶ δόξας καὶ τὰ τοιαῦτα πάντα διέπαιζε, πρόσκομμάτα κακίας εἶναι λέγων, μόνην τε ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ. ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας, γάμον μηδένα νομίζων, ἀλλὰ τὸν πεῖσαι τὴν πρὸς ἄνδρα συνοῦναι. κοινοὺς δὲ καὶ τοὺς παῖδας. μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν, ἢ τῶν ζώων τινὸς γεύσασθαι. μηδὲ αἰσχρὸν εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅπτεσθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοεθνῶν ἐθῶν. καὶ τῷδε ὀρθῷ λόγῳ πάντα ἐν πᾶσι καὶ διὰ παντὸς εἶναι λέγων. καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέως εἶναι, καὶ ἐν τῷ λαχάνῳ ἄρτου, καὶ τῶν ὁμοίων τῶν λιπῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων καὶ ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων· ὡς δῆλον ἐν τῇ Θυέστῃ ποιεῖ. εἰ μὲ αὐτὸν αἱ τραγῳδίαι καὶ μὴ Φιλίσκου ὁ Αἰγινήτου ἐκείνου γνώριμος, ἢ Πασιφῶντος τοῦ Λουκιανοῦ, ὃν φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ

στέρησιν, οἷ ἄχαρ. διάδε τινὰ καὶ περὶ φαντασίας καὶ αἰσθήσεως καὶ νοήσεως δογματίζουσι. κριτήριον δὲ τῆς ἀληθείας φασὶ τυγχάνειν τὴν καταληπτικὴν φαντασίαν, τουτέστι τὴν ἀπὸ ὑπαρχούσης, καθά φησι Χρύσιππος ἐν τῇ δωδεκάτῃ τῶν φυσικῶν, καὶ Ἀντίπατρος καὶ Ἀπολλόδωρος. ὁ μὲν γὰρ Βοηθὸς κριτήρια πλείονα ἀπολείπει, νοῦν καὶ αἴσθησιν, καὶ ὄρεξιν καὶ ἐπιστήμην· ὁ δὲ Χρύσιππος διαφερόμενος αὐτὸς ἑαυτῷ ἐν τῷ περὶ λόγου, κριτήρια φησὶν εἶναι αἴσθησιν καὶ προλήψιν. ἔστι δὲ ἡ πρόληψις, ἔννοια φυσικὴ τῶν καθόλου. ἄλλοι δέ τινες τῶν ἀρχαιοτέρων Στωϊκῶν τὸν ὀρθὸν λόγον κριτήριον ἀπολείπουσιν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ περὶ κριτηρίου φησί. τῆς δὲ διαλεκτικῆς θεωρίας συμφώνως δοκεῖ τοῖς πλείοσι τὸ μὲν περὶ φωνῆς ἀναγκαῖον εἶναι τόπου. ἔστι δὲ φωνὴ, ἀὴρ πεπληγμένος, ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς, ὡς φησὶ Διογένης ὁ Βαβυλώνιος ἐν τῇ Περὶ φωνῆς τέχνῃ. ζώου μὲν ὅτι φωνὴ, ἀὴρ ὑπὸ ὁρμῆς πεπληγμένος· ἀνθρώπου δέ, ἔστιν ἔναρθρος καὶ ἀπὸ διανοίας ἐκπεμπομένη, ὡς ὁ Διογένης φησίν· ἢ ἧς ἀπὸ δεκατεσσάρων ἐτῶν τελειοῦσθαι. καὶ σῶμα δ' ἐστὶν ἡ φωνὴ, κατὰ τοὺς Στωϊκούς, ὡς φησιν Ἀρχέδημός τε ἐν τῇ Περὶ φωνῆς, καὶ Διογένης καὶ Ἀντίπατρος καὶ Χρύσιππος ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν. παθὸς γὰρ τὸ πιοῦν, σῶμα ὄν· πιεῖ δὲ ἡ φωνὴ προσπεσοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων. λέξις δέ ἐστι κατὰ τοὺς Στωϊκούς, (ὡς φησιν ὁ Διογένης) φωνὴ ἐγγράμματος. οἷ, Ἡμέρα ἐστί. λόγος δέ ἐστι φωνὴ σημαντικὴ, ἀπὸ διανοίας ἐκπεμπομένη. διάλεκτος δέ, ἐστὶ λέξις κεχαραγμένη ἐθνικῶς τε καὶ Ἑλληνικῶς· ἢ λέξις πατρική, τουτέστι πρὸ κατ' διάλεκτον. οἷ, κατὰ μὲν τὴν Ἀττικὴν, θάλαττα· κατὰ δὲ τὴν Ἰάδα, ἡμέρη· τῆς δὲ λέξεως στοιχεῖά ἐστι τὰ εἰκοσιτέσσαρα γράμματα. περιχῶς δὲ λέγεται τὸ γράμμα· ὅ, τε χαρακτὴρ τοῦ στοιχείου, καὶ τὸ ὄνομα, οἷον α· φωνήεντα δέ ἐστι τῶν στοι-

χείων ἐπτά, ᾱ, ε̄, η̄, ῑ, ο̄, ῡ, ω̄· ἄφωνα δ', δ̄ζ, β̄, γ̄, θ̄, κ̄, π̄, τ̄. διαφέρει δὲ φωνὴ καὶ λέξις, ὅτι φωνὴ μέν ἐστι καὶ ὁ ἶππος ὅτι, λέξις δέ, τὸ ἔναρθρον μόνον. λέξις δὲ λόγου διαφέρει, ὅτι λόγος ἀεὶ σημαντικός ἐστι, λέξις δέ, καὶ ἀσήμαντος, ὡς ἡ βλίτυρι· λόγος δέ, οὐδαμῶς. διαφέρει δὲ τὸ λεκτὸν τοῦ φερόμενον· φερόμεναι μὲν γὰρ αἱ φωναί, λέγονται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει. τοῦ δὲ λόγου ἐστὶ μέρη πέντε, ὥς φησι Διονύσιος ὁ ἐν τῷ Περὶ φωνῆς καὶ Χρύσιππος· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον· (ὁ δὲ Ἀπίωνος καὶ τινὰ μεσότητα πίπτειν ἐν τοῖς Περὶ λέξεων καὶ τῶν λεγομένων) ἔστι δὲ προσηγορία μέν, κατ' ἐνίους, μέρος λόγου σημαῖνον κοινὴν ποιότητα, οἷον ἄνθρωπος, ἵππος· ὄνομα δέ ἐστι μέρος λόγου δηλοῦν ἰδίαν ποιότητα, οἷον Διονύσιος, Σωκράτης· ῥῆμα δέ ἐστι μέρος λόγου σημαῖνον ἀσύνθετον κατηγόρημα, ὡς ὁ Διονύσιος· σύνδεσμος (ὡς ἔνιοι) στοιχεῖον λόγου ἄπλωτον, σημαῖνον τὴν συντακτὸν πρόσωπος ἢ ἐνιαῖον, οἷον Γράφω, Λέγω. σύνδεσμος δέ ἐστι μέρος λόγου ἄπτωτον, συνδοῦν τὰ μέρη τοῦ λόγου. ἄρθρον δέ ἐστι στοιχεῖον λόγου πτωτικόν, διακρῖνον τὰ τῆς ὀνομαχίας καὶ τοὺς ἀριθμούς, οἷον, ὁ, δ, τῷ, οἱ, αἱ, τά. ἀρεταὶ δὲ λόγου εἰσὶ πέντε, Ἑλληνισμός, σαφήνεια, συντομία, πρέπον, κατασκευή. Ἑλληνισμὸς μὲν οὖν ἐστι φράσις ἀδιάπτωτος ἐν τῇ τεχνικῇ καὶ μὴ εἰκαίᾳ συνηθείᾳ. σαφήνεια δέ ἐστι λέξις ποιοῦσα τὸν ἀκούοντα τὸ νοούμενον. συντομία δέ ἐστι λέξις αὐτὰ τὰ ἀναγκαῖα περιέχουσα πρὸς δήλωσιν τοῦ πράγματος. πρέπον δέ ἐστι λέξις οἰκεία τῷ πράγματι. κατασκευὴ δέ ἐστι λέξις, ἐκφεύγουσα τὸ ἰδιωτικόν. ὁ δὲ βαρβαρισμὸς ἐν τοῖς κακοῖς λέξις ἐστὶ παρὰ τὸ ἔθος τῶν ἀδοκιμαζόντων Ἑλλήνων. σολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συμπεπλεγμένος. πῆμα δέ ἐστιν (ὡς ὁ Ποσειδώνιος φησὶν ἐν τῇ Περὶ λέξεως εἰσαγωγῇ) λέξις ἔμμετρος ἢ ῥυθμοποιουμένη τὸ λεγόμενον ἀκριβοῦσα.

τὸ ἄπειρον ἢ εἶδ) τὸ γᾶμα μεγίστη, καὶ Διὸς αἰθήρ. ποίησις δέ ἐστι σημαντικὸν ποίημα ἐξαμέτρου ἢ πλειόνων καὶ αἰτιολογικῶν. ὅρος δέ ἐστιν (ὡς φησιν Ἀντίπατρος ἐν τῷ πρώτῳ περὶ ὅρων) λόγος κατ' ἀνάλυσιν ἀπαρτίζοντος ἐκφερόμενος· ἢ (ὡς ὁ Χρύσιππος ἐν τῷ Περὶ ὅρων) καθ' ἡ ἀπόδοσις. ὑπογραφὴ δέ ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα, ἢ ὅρος ἁπλούστερον ἢ τοῦ ὅρου δυνάμιν πρόχειρος. γλῶσσα δέ ἐστι πλειόνων καὶ ἀναφαιρέτων ἐννοημάτων σύλληψις, οἷον Ζῆνον· τοῦτο γὰρ περιείληφε τὰ κατὰ μέρος ζῶα. ἐννόημα δέ ἐστι φάντασμα διανοίας, ἤτοι ἁπλοῦν, ἤτοι πολύ· ὡσανεὶ δέ τι ἓν, καὶ ὡσανεὶ πολύ, οἷον ἵππος ἀνατύπωμα ἵππου καὶ μὴ παρόντος. εἶδος δέ ἐστι τὸ ὑπὸ γλώσσαις περιεχόμενον, ὡς ὑπὸ τοῦ ζῴου ὁ ἄνθρωπος περιέχεται. γλωσσηματικὸν δέ ἐστιν, ὃ, γλῶσσα ὄν, γένος οὐκ ἔχει. εἰδικώτατον δέ ἐστιν, ὃ, εἶδος ὄν, εἶδος οὐκ ἔχει, οἷος ὁ Σωκράτης. διαίρεσις δέ ἐστι γλώσσαις ἢ εἰς τὰ πρόσφορα ἢ εἴδη τομή· οἷον, τῶν ζῴων τὰ μέν ἐστι λογικά τὰ δ', ἄλογα. ἀντιδιαίρεσις δέ ἐστι γλώσσαις εἰς εἴδος τομὴ κατ' ἀντίφασιν, ὡς αἱ κατ' ἀπόφασιν. οἷον, τῶν ὄντων τὰ μέν, ἐστιν ἀγαθά, τὰ δ' οὐκ ἀγαθά. ὑποδιαίρεσις δέ ἐστι διαίρεσις ἐπὶ διαιρέσει· οἷον, τῶν ὄντων, τὰ μέν ἐστιν ἀγαθά· τὰ δ' οὐκ ἀγαθά. καὶ τῶν οὐκ ἀγαθῶν, τὰ μέν ἐστι κακά τὰ δ', διαφορά. μερισμός δέ ἐστι, γλώσσαις εἰς τόπους κατάταξις, (ὡς ὁ Κείνις) οἷον, τῶν ἀγαθῶν τὸ μέν ἐστι περὶ ψυχήν τὰ δ', περὶ σῶμα. ἀμφιβολία δέ ἐστι λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, καὶ κατὰ τὸ αὐτὸ ἔθος. ὥσθ' ἅμα τὰ πλείονα ἐκλέξασθαι κατὰ ταύτην τὴν λέξιν· οἷον, Αὐλητρὶς πέπωκε. δηλοῦται γὰρ δι' αὐτῆς, τὸ μέν, ὅτι οἶνον, Οἰκία τρὶς πέπωκε· τὸ δέ, ὅτι οὖν, Αὐλήτρια πέπωκε. διαλεκτικὴ δέ ἐστιν (ὡς φησι Ποσειδώνιος) ἐπιστήμη ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων. τυγχάνει δὲ κριτὴς, (ὡς ὁ Χρύσιππος φησὶ) περὶ σημαίνοντα καὶ σημαι-

πόμφα. ἐν μὲν οὖν τῇ περὶ φωνῆς θεωρίᾳ ταῦτα λέγεται τοῖς Στωϊκοῖς. ἐν δὲ τῷ περὶ τῶν πραγμάτων καὶ τῶν σημαινομένων πῇ πέπακται ὁ περὶ λεκτῶν καὶ αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ συλλογισμῶν λόγος, καὶ ὁ περὶ ἐλλιπῶν τε καὶ κατηγορημάτων καὶ ὁρθῶν καὶ ὑπλίων. φασὶ δὲ τὸ λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὸν ὑφιστάμενον. τὰ δὲ λεκτὰ καλοῦσιν εἶναι αὐτοτελῆ οἱ Στωϊκοί, παὶ ἐλλιπῆ. ἐλλιπῆ μὲν οὖν ἐστι τὰ οἱαπάρπτον ἔχοντα τὴν ἐκφοράν· οἷον, Γράφει. ὅπου γὰρ μέν, Τίς; αὐτοτελῆ δ' ἐστί, τὰ ἀπηρτισμένην ἔχοντα τὴν ἐκφοράν· οἷον, Γράφει Σωκράτης. ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς πέπακται τὰ κατηγορήματα, ἐν δὲ τοῖς αὐτοτελέσι, τὰ ἀξιώματα καὶ οἱ συλλογισμοί, καὶ τὰ ἐρωτήματα, καὶ τὰ πύσματα. ἔστι δὲ τὸ κατηγόρημα, τὸ κατά τινος ἀγορευόμενον, ἢ πρᾶγμα συνπακτὸν πρός τινος ἢ τινά (ὡς οἱ περὶ Ἀπολλόδωρον φασὶν) ἢ λεκτὸν ἐλλιπὲς συνπακτὸν ὀρθῇ πτώσει πρὸς ἀξιώματος γένεσιν. τῶν δὲ κατηγορημάτων τὰ μέν ἐστι συμβάματα, οἷον τὸ διὰ πέτρας πλεῖν· καὶ τὰ μὲν ἐστι τῶν κατηγορημάτων ὀρθά, ἃ δὲ ὕπλια, ἃ δὲ οὐδέτερα. ὀρθὰ μὲν οὖν ἐστι τὰ σώματα σώματι μιᾷ τῶν πλαγίων πτώσεων, πρὸς κατηγορήματος γένεσιν, οἷον Λυπεῖ, Ὁρᾷ, Διαλέγεται. ὕπλα δέ ἐστι τὰ σωτικὰ σώματα πρὸς παθητικῶς μοιῶν. οἷον, Λυποῦμαι, Ὁρῶμαι. οὐδέτερα δ' ἐστί, τὰ μηδετέρως ἔχοντα· οἷον, Φρονεῖν, περιπατεῖν. αἰτιατικὰ δέ ἐστιν ἐν τοῖς ὑπλίοις, αἰτιατικὰ ὄντα. ἐπερρήματα δέ ἐστιν, οἷον Κείρεται· ἐμπεριέχει γὰρ αὐτὸν ὁ περιόδμος. πλάγιαι δὲ πτώσεις εἰσί, γενική, καὶ δοτική, καὶ αἰτιατική. ἀξίωμα δέ ἐστιν ὃ ἐστιν ἀληθὲς ἢ ψεῦδος, ἢ πρᾶγμα αὐτοτελές, ἀπφαντὸν ὅσον ἐφ' ἑαυτῷ· ὡς ὁ Χρύσιππός φησιν ἐν τοῖς διαλεκτικοῖς ὅροις. ἀξίωμά ἐστι τὸ ἀποφαντὸν ἢ καταφαντὸν ὅσον ἐφ' ἑαυτῷ· οἷον, Ἡμέρα ἐστί, Δίων περιπατεῖ. ὠνόμασται δὲ τὸ ἀξίωμα ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀξιοῦν· ὁ γὰρ λέγων Ἡμέρα

ὄζιν, ἀξιοῖ δοκεῖ τὸ ἡμέρεσιν εἶ. οὔσης μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ οὔσης δ', ψεῦδος. διαφέρει δ' ἀξίωμα, καὶ ἐρώτημα, καὶ πύσμα, προστακτικόν, καὶ ὁρκικόν, καὶ ἀρατικόν, καὶ ὑποθετικόν, καὶ προσαγορευτικόν, καὶ πρᾶγμα ὅμοιον ἀξιώματι. ἀξίωμα μὲν γάρ ἐστιν, ὃ λέγοντες, ἀποφαινόμεθα ὅτι ἢ ἀληθές ἐστιν ἢ ψεῦδος. ἐρώτημα πρᾶγμα αὐτοτελές μέν, ὡς καὶ τὸ ἀξίωμα· αἰτητικὸν δ' ἀποκρίσεως· οἷον, Λέγε μοι ἡμέρα ἐστί; τοῦτο δὲ οὔτε ἀληθές ἐστιν οὔτε ψεῦδος· ὥστε τὸ μέν, Ἡμέρα ἐστίν, ἀξίωμά ἐστι· τὸ δ', Λέγε μοι ἡμέρα ἐστίν; ἐρώτημα. πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς ἐστιν ἀποκρίνεσθαι, ὡς ἐπὶ τῶν ἐρωτημάτων, ναί· ἀλλὰ εἰπεῖν, Οἰκεῖ ἐν Πύλῳ τῶν Νεστορικῶν. προστακτικὸν δέ ἐστι πρᾶγμα ὃ λέγοντες προστάσσομεν· οἷον,

Σὺ μὲν βάδιζε πρὸς ἐπ' Ἰνάχου ῥοάς.

προσαγορευτικὸν δέ ἐστι πρᾶγμα, ὃ εἰ λέγοις τις, προσαγορεύοι ἄν· οἷον,

Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγαμέμνον.

ὅμοιον δέ ἐστιν ἀξιώματι, ὃ τῷ εἰς φωνὴν ἔχον ἀξιωματικῷ σχήματος μέρους πλεονασμὸν ἢ πάθος, ἔξω πίπτει τοῦ χρήσιμον τοῦ ἀξιωματικοῦ· οἷον,

Καλός γ' ὁ παρθενών.

Ὡς Πελαμίδησιν ἐμφερὴς ὁ βουκόλος.

ἔστι δὲ καὶ ἀπορητικόν τι πρᾶγμα, διεντευκτὸς ἀξιώματος, ὃ εἰ λέγοις τις ἀπορῶν ἄν· οἷον, Ἆρ' ἔστι συγγενές τι λύπη καὶ βίος; οὔτε δὲ ἀληθῆ ἐστιν οὔτε ψευδῆ τὰ ἐρωτήματα, καὶ τὰ πύσματα, καὶ τὰ τύπις πρὸς ἁπλῆν, τοῦ ἀξιωματικοῦ ἢ ἀληθῶν ἢ ψευδῶν ὄντων. τοῦ ἀξιωματικοῦ τὰ μὲν ἐστιν ἁπλᾶ, τὰ δὲ οὐχ ἁπλᾶ, ὡς φασιν οἱ περὶ Χρύσιππον, καὶ Ἀρχέδημον, καὶ Ἀθηνόδωρον, καὶ Ἀντίπατρον, καὶ Κείνιν. ἁπλᾶ μὲν οὖν ἐστι τὰ συνεστῶτα ἐξ ἀξιώματος μὴ διαφορουμένου, ἢ ἐξ ἀξιωμάτων· οἷον τὸ Ἡμέρα ἐστίν. οὐχ

ἁπλᾶ δέ ὅτι τὰ συνεστῶτα ἐξ ἀξιώματος διαφερομένου, ἢ ἐξ ἀξιωμάτων. ἐξ ἀξιώματος μὲν διαφερομένου, εἶον, Εἰ ἡμέρα ὅδι· ἐξ ἀξιωμάτων δέ, εἶον, Εἰ ἡμέρα ὅδι, φῶς ὅδιν. ἀναίρεσις ἁπλοῦς ἀξιώματος ὅδι τὸ ἀποφατικόν, καὶ τὸ ἀφιτικόν, καὶ τὸ στερητικόν, καὶ τὸ κατηγορικόν, καὶ τὸ καταγορευτικόν, ἢ τὸ ἀσύστατον· ἀναίρεσις δὲ οὐχ ἁπλοῦς τὸ συνημμένον, καὶ τὸ διαζευκτικόν, καὶ τὸ συμπεπλεγμένον, καὶ τὸ διεζευγμένον, καὶ τὰ αἰτιώδες, ἢ τὸ διαφορῶ τὸ μᾶλλον, καὶ τὸ διαφορεῖ τὸ ἧττον. ἢ ἀξιώματος ἀποφατικοῦ μὲν, οἷον Οὐχὶ ἡμέρα ὅδιν. εἰδικῆς δὲ οὐ τὸ ἀφατικόν. ἀφατικὸν δέ ὅδιν ἀποφατικὸν ἀποφατικοῦ, εἶον, Οὐχὶ ἡμέρα ὅδι. πλὴν ἢ τὸ Ἡμέρα ὅδιν. ἀφιτικὸν δέ ὅδι τὸ συνεστὸς ἐξ ἀφιτικοῦ μορίου καὶ κατηγορήματος· εἶον, Οὐδεὶς περιπατεῖ. στερητικὸν δέ ὅδι τὸ συνεστὸς ἐκ στερητικοῦ μορίου καὶ ἀξιώματος ἢ δυνάμει· εἶον, Ἀφιλάνθρωπός ὅδιν ἐστί. κατηγορικὸν δέ ὅδι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς καὶ κατηγορήματος· εἶον, Δίων περιπατεῖ. καταγορευτικὸν δέ ὅδι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς δεικτικῆς καὶ κατηγορήματος· εἶον, Οὗτος περιπατεῖ. ἀσύστατον δέ ὅδι τὸ συνεστὸς ἐξ ἀορίστου μορίου, ἢ ἀορίστων μορίων· εἶον, Τὶς περιπατεῖ, Ἕκαστος νήχεται. τῶν δὲ οὐχ ἁπλῶν ἀξιωμάτων συνημμένον μέν ὅδι, ὡς ὁ Χρύσιππός φησι, καὶ Διοκλῆς ὁ Μάγνης ἐν τῇ διαλεκτικῇ τέχνῃ, τὸ συνεστὸς διὰ τοῦ εἰ συναπτικοῦ συνδέσμου. ἐπαγγέλλεται δὲ ὁ σύνδεσμος οὗτος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ· εἶον, Εἰ ἡμέρα ὅδι, φῶς ὅδι. διαζευκτικὸν δέ ὅδιν (ὡς ὁ Κλείτομαχος ἐν τῇ διαλεκτικῇ τέχνῃ) ἀξίωμα ὃ ἔχει τὸν ἐπὶ συνδέσμου διαζευκτικοῦ, ἀρχόμενον ἀπ' ἀξιώματος καὶ λῆγον εἰς ἀξίωμα· εἶον, Ἐπὶ ἡμέρας ὅδι, φῶς ὅδιν. ἐπαγγέλλεται δὲ ὁ σύνδεσμος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ, καὶ τὸ πρῶτον ἀφιστάναι. συμπεπλεγμένον δέ ὅδιν ἀξίωμα,

ἐ ὑπό ἐστιν συμπλεκτικῶν συνδέσμων συμπλεκται-
σιον, Καὶ ἡμέρα ἐστί, καὶ φῶς ἐστι. διεζευγμένον δέ ἐστιν
ἐ ὑπό τῶ Ἤτοι διαζευκτικοῦ συνδέσμου διέζευκται σιον,
Ἤτοι ἡμέρα ἐστίν, ἢ νυξ ἐστι. ἐπαγόμενος ὁ συνδεσμος
ἐστὶ τὸ ἕτερον τῶν ἀξιωμάτων ψεύδος εἶ. ἀποφατικὸς δέ
ἐστιν ἀξίωμα τὸ συνταττόμενον διὰ τοῦ Διότι σιον, Διότι
ἡμέρα ἐστί, φῶς ἐστιν. σιονεὶ γὰρ αἴτιόν ἐστι τὸ δεῦτερον τοῦ
δευτέρου. διαφατικῶν δὲ τὸ μᾶλλον ἀξίωμα ἐστί, τὸ συν-
ταττόμενον ὑπὸ τοῦ διαφατικῶς τὸ μᾶλλον συνδέσμου,
καὶ τοῦ μέσου τῶν ἀξιωμάτων διαιρόμενον σιον, Μᾶλλον
ἡμέρα ἐστί, ἢ νύξ ἐστιν. διαφατικῶν δὲ τὸ ἧττον ἀξίωμα
ἐστί, τὸ ἀναιροῦντος τῶ συνημμένω σιον, Ἧττον νύξ ἐστιν ἢ ἡ-
μέρα ἐστίν. ἐπῶν ἀξιωμάτων κατά τε ἀλήθειαν καὶ
ψεύδος αἰτιώμενα ἀλλήλοις ἐστίν, ὧν τὸ ἕτερον τοῦ ἑτέ-
ρου ἐστὶν ἀποφατικόν σιον, τὸ Ἡμέρα ἐστί, καὶ τὸ Οὐχ ἡ-
μέρα ἐστί. συνημμένον οὖν ἀληθές ἐστιν, οὗ τὸ αἰτι-
ώμενον τοῦ λήγοντος μάχεται τῶ ἡγουμένω σιον, Εἰ ἡ-
μέρα ἐστί, φῶς ἐστι, τοῦτο ἀληθές. τὸ γὰρ Οὐχὶ φῶς,
αἰτιώμενον τῶ λήγοντι, μάχεται τῶ Ἡμέρα ἐστί. συν-
ημμένον δὲ ψεῦδός ἐστιν, οὗ τὸ αἰτιώμενον τοῦ λήγον-
τος οὐ μάχεται τῶ ἡγουμένω σιον, Εἰ ἡμέρα ἐστί, δίων
περιπατεῖ. τὸ γὰρ οὐχὶ δίων περιπατεῖ, οὐ μάχεται τῶ
Ἡμέρα ἐστί. ἀληθὲς συνημμένον δὲ ἀληθὲς μέν ἐστιν, ὃ
ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀπόλυτον λῆξι σιον, Ἐπεὶ
ἡμέρα ἐστίν, ἥλιος ἐστιν ὑπὲρ γῆς. ψεῦδος δὲ ἢ ἀπὸ ψεύ
δους ἄρχεται, ἢ μὴ εἰς ἀπόλυτον λῆξι σιον, Ἐπεὶ νύξ ἐστι,
δίων περιπατεῖ, αἱ ἡμέρας οὔσης λήγοντα. ἀποφατὸς δὲ
ἀληθὲς μέν ἐστιν, ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀπόλυτον
λῆξι, οὐ μὴν ἔχῃ ὧν λήγοντα τὸ ἀρχόμενον ἀπόλυτον σιον.
Διότι ἡμέρα ἐστί, φῶς ἐστι. ὧν μὲν γὰρ Ἡμέρα ἐστίν, ἀκολουθεῖ
τὸ Φῶς ἐστι τῶ ἢ Φῶς ἐστιν, οὐχ ἕπεται τὸ Ἡμέρα ἐστίν.
ἀποφατὸς δὲ ψεῦδός ἐστιν, ὃ ἢτοι ἀπὸ ψεύδους ἄρχεται

ἢ εἰς μὴ ἀκόλουθον λήγῃ· ἢ ἔχῃ τῷ λήγοντι τὸ ἀρχόμενον ἀνακόλουθον· οἷ, Διὸς νύξ ἐστι, Διῶν πρέπατεῖ. πιθανὸν δέ ἐστιν ἀξίωμα, τὸ ἄγον εἰς συγκατάθεσιν· οἷ, εἴ τις τέτοκεν, ἐκείνη ἐκείνου μήτηρ ἐστί. ψεῦδος ἦν τὸ τοῦ γὰρ ὄρνις ὡσὶ ἐστι μήτηρ. ἔτι τε τὰ μὲν, ἐστι δυνατά· τὰ ἦν, ἀδυνάτα· καὶ τὰ μὲν, ἀναγκαῖα· τὰ δὲ, οὐκ ἀναγκαῖα. δυνατὸν μὲν, τὸ ὑποδεκτικὸν τοῦ ἀληθὲς εἶναι, ὃν ἐκ τοῦ μὴ ὄντος εἶναι· οἷ, Ζήνων Δισκὸς ἀδύνατον ἦν, ὃ μὴ ἐστιν ὑποδεκτικὸν τοῦ ἀληθὲς εἶναι· οἷ, Ἡ γῆ ἵπταται. ἀναγκαῖον δέ ἐστιν, ὅπερ ἀληθὲς ὄν, οὐκ ἔστιν ὑποδεκτικὸν τοῦ ψεύδους εἶναι. ἢ ὑποδεκτικὸν μέν ἐστι, τὰ δὲ ἐκτὸς αὐτοῦ ἀναιρεῖσθαι πρὸς τὸ ψεύδος εἶναι· οἷον, Ἡ ἀρετὴ ὠφελεῖ. οὐκ ἀναγκαῖον δέ ἐστιν, ὃ καὶ ἀληθὲς ἐστιν, καὶ ψεῦδος οἷόν τε εἶναι, τῶν ἐκτὸς μηδὲν ἀναιρουμένων, οἷ τὸ Περιπατεῖ Δίων. εὔλογον δέ ἐστιν ἀξίωμα τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι· οἷ, Βιωσόμεθα αὔριον. αἱ δὲ ἄλλαι εἰσὶ διαφοραὶ ἀξιωμάτων, καὶ μεταπτώσεις αὐτῶν εἴς ἀλλήλων εἰς ψεύδη καὶ ἀπίστροφα, περὶ ὧν ἐν τῷ πλάτει λέγομεν.

λόγος δέ ἐστι (ὡς οἱ περὶ τὸν Κείτιν φασὶ) τὸ συνεστὸς ἐκ λήμματος ἢ λημμάτων, καὶ περιλήψεως, καὶ ὑποφορᾶς. οἷον ὁ Διόδωρος, Εἰ ἡμέρα ἐστί, φῶς ἐστι. ἡμέρα δέ ἐστι, φῶς ἄρα ἐστί. λῆμμα μὲν γάρ ἐστι, τὸ Εἰ ἡμέρα ἐστί, φῶς ἐστι· περίληψις τὸ, Ἡμέρα δέ ἐστιν· ὑποφορὰ δὲ τὸ, Φῶς ἄρα ἐστί. ζεῦγος δέ ἐστιν, οἱονεὶ ἕνωμα λόγου· οἷον ὁ Διόδωρος, Εἰ τὸ α, τὸ β· ἀλλὰ μὲν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. λογότροπος δέ ἐστι, τὸ ἐξ ἀμφοτέρων συνθετον, οἷον, Εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὲν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. παρεισήχθη δὲ ὁ λογότροπος ὑπὸ τῶν ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόληψιν μακρὰν οὖσαν καὶ τὴν ὑποφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, τὸ δὲ α, τὸ ἄρα β. τῶν δὲ λόγων οἱ μὲν εἰσιν ἀπόδεικτοι, οἱ δὲ πρωτογενεῖς. ἀποδεικτοί μέν, ὧν τὸ ἀν-

διπείμενον τῆς ὀπφορᾶς μάχεται τῇ διὰ τῶν λημμάτων συμπλοκῇ· οἷ οἱ Στοϊκοί, Εἰ ἡμέρα ἐστί, φῶς ἐστὶ· ἡμέρα δέ ἐστι· φῶς ἄρα ἐστίν. τῶν δὲ φαυλικῶν λόγων οἱ μὲν ὁμωνύμως τῷ ὅλῳ λέγονται φαυλικοί, οἱ δὲ συλλογιστικοί. συλλογιστικοὶ μὲν οὖν εἰσιν οἱ ἢ ποι αἱαπόδεικτοι ὄντες, ἢ αἰαγόμενοι ὅτι τοῖς αἱαποδείκτοις, κατά τι τῶν θεμάτων, ἢ ἄνα· οἷ οἱ Στοϊκοί, Εἰ φῶς ἐστίν, κινεῖται ἄρα ἀήρ. φαυλικοὶ δέ εἰσιν εἰδικῶς, οἱ σωάγοντες μὴ συλλογιστικῶς· οἷον οἱ Στοϊκοί, Ψεῦδός ἐστι τὸ, ἡμέρα ἐστί, ἢ νύξ ἐστιν· ἡμέρα δέ ἐστιν· οὐκ ἄρα νύξ ἐστιν. ἀσυλλόγιστοι δ' εἰσίν, οἱ παρακείμενοι μὲν πιθανῶς τοῖς συλλογιστικοῖς, οὐ σωάγοντες δὲ· οἷον Εἰ ἵππος ἐστί, ζῷόν ἐστι Δίωνος· ἀλλὰ μὴν ἵππος οὐκ ἔστι Δίωνος· οὐκ ἄρα ζῷόν ἐστι Δίωνος. ἔτι τῶν λόγων οἱ μὲν ἀληθεῖς εἰσιν, οἱ δὲ ψευδεῖς. ἀληθεῖς μὲν οὖν εἰσι λόγοι, οἱ δι' ἀληθῶν σωάγοντες· οἷον, Εἰ ἡ ἀρετὴ ὠφελεῖ, ἡ κακία βλάπτει. ψευδεῖς δέ εἰσιν οἱ τῶν λημμάτων ἐχόντων τι ψεῦδος, ἢ ἀπέραντοι ὄντες. οἷον, Εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἡμέρα δέ ἐστι· ζῇ ἄρα Δίων. καὶ δυνατοὶ δ' εἰσὶ λόγοι καὶ ἀδύνατοι, καὶ ἀναγκαῖοι καὶ οὐκ ἀναγκαῖοι. εἰσὶ δὲ καὶ αἱαπόδεικτοι τινές, τῷ μὴ χρῄζειν ἀποδείξεως· ἄλλοι μὲν παρ' ἄλλοις, τρεῖς δὲ τῷ Χρυσίππῳ πέντε, δι' ὧν πᾶς λόγος πλέκεται· οἱ τινες, λαμβάνονται ὅτι τῶν φαυλικῶν καὶ ὅτι τῶν συλλογισμῶν, καὶ ὅτι τῶν ζητικῶν. ἀποδεικτός δέ ἐστιν αἱαπόδεικτος, ἐν ᾧ πᾶς λόγος συνίσταται οὐκ συνημμένου καὶ τοῦ ἡγουμένου, ἀφ' οὗ ἄρχεται τὸ συνημμένον, καὶ τὸ λῆγον ὑπφέρει· οἷον, Εἰ τὸ α, τὸ β· ἀλλὰ μὴν τὸ α· τὸ ἄρα β. δεύτερος δ' ἐστὶν αἱαπόδεικτος, ὁ διὰ συνημμένου καὶ τοῦ ἀποκειμένου τοῦ λήγοντος τὸ ἀποκείμενον τοῦ ἡγουμένου ἔχων συμπέρασμα· οἷον, Εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν νύξ ἐστιν· οὐκ ἄρα ἡμέρα ἐστίν. ἡ γὰρ ἀντίληψις γίνεται ἐκ τοῦ ἀποκειμένου τοῦ λήγοντος, καὶ ἡ ὑπφορὰ ἐκ τοῦ ἀποκειμένου τοῦ ἡγουμένου·

ὀρθῶς ζῆτεῖσθαι τοῖς κ᾽ φύσιν. πεφύτης γὰρ ἕξις διηρῆσθαι τῆς ὁρμῆς. διόπερ πρῶτος ὁ Ζήνων ἐν τῷ Περὶ ἀνθρώπου φύσεως, τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατ᾽ ἀρετὴν ζῆν. ἄγει γὰρ πρὸς ταύτην ἡμᾶς ἡ φύσις. ὁμοίως δὲ καὶ Κλεάνθης ἐν τῷ Περὶ ἡδονῆς, καὶ Ποσειδώνιος καὶ Ἑκάτων ἐν τοῖς Περὶ τελῶν. πάλιν δ᾽ ἴσον ἐστὶ τὸ κατ᾽ ἀρετὴν ζῆν τῷ κατ᾽ ἐμπειρίαν τῆς φύσει συμβαινόντων ζῆν· ὡς φησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν· μέρη γάρ εἰσιν αἱ ἡμέτεραι φύσεις τῆς τοῦ ὅλου. διόπερ τέλος γίνεται τὸ ἀκολούθως τῇ φύσει ζῆν· ὅπερ ἐστὶ κατ᾽ ἀρετὴν αὐτὸ καὶ κ᾽ τὴν τῶν ὅλων, οὐδὲν ἐνεργοῦντος ὧν ἀπαγορεύει εἴωθεν ὁ νόμος ὁ κοινός, ὅπερ ἐστὶν ὁ ὀρθὸς λόγος διὰ πάντων ἐπιχέομενος, ὁ αὐτὸς ὢν τῷ Διὶ καθηγεμόνι τούτῳ τῆς τῶν ὄντων διοικήσεως ὑπ. εἶναι δ᾽ αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν, καὶ εὔροιαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ᾽ ἑκάστῳ δαίμονος πρὸς τὴν τοῦ ὅλου διοικητοῦ βούλησιν. ὁ μὲν οὖν Διογένης τέλος φησὶ ῥητῶς, τὸ εὐλογιστεῖν ἐν τῇ κατ᾽ φύσιν ἐκλογῇ. Ἀρχέδημος δὲ, τὸ πάντα τὰ καθήκοντα δύνασθαι πληροῦσθαι ζῆν. φύσιν δὲ Χρύσιππος μὲν ἐξακούει, τὸ ἀκολουθῶς δεῖ ζῆν, τῷ τε κοινῷ, καὶ ἰδίως τῷ ἀνθρωπίνῳ. ὁ δὲ Κλεάνθης τῷ κοινῷ μόνῳ ἐκδέχεται φύσιν, τὸ ἀκολουθεῖν δεῖ, οἰκεῖον δὲ καὶ τῷ ὑπὸ μέρος. τῷ τε ἀρετῷ, διάθεσιν εἶναι ὁμολογουμένην καὶ αὐτῷ, δι᾽ αὐτὸ εἶναι αἱρετὸν, οὐ διὰ ἄλλο φόβον ἢ ἐλπίδα, ἢ τι τῶν ἐξωθεν. ἐν αὐτῇ τε εἶναι τὴν εὐδαιμονίαν, ἅτε ὅλης ψυχῆς πεποιημένης πρὸς τὴν ὁμολογίαν παντὸς τοῦ βίου. διαστρέφεσθαι δὲ τὸ λογικὸν ζῷον, ποτὲ μὲν, διὰ τὰς τῶν ἐξωθεν προσπτώσεις παθῶν· ποτὲ δὲ, διὰ τὴν κατάκρισιν τῶν συνόντων· ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαστρόφους. ἀρετὴ δὲ ἡ μὲν ὡς κοινῶς πασὴ τελείωσις, ὥσπερ εὐδαιμονία· καὶ ἡ ἀνδρεία, ὡς ὑγίεια· καὶ ἡ σωφροσυνικὴ, ὡς εὐταξία· καὶ ἡ φρόνησις. φησὶ γὰρ ὁ Ἑκάτων

ἐν τῷ περὶ ἀρετῶν, ὑπεκμονικὰς μὲν εἶναι καὶ θεωρηματικὰς, τὰς ἐχούσας τὴν σύστασιν ἐκ θεωρημάτων, ὡς φρόνησιν καὶ δικαιοσύνην· ἀθεωρήτους δ', τὰς κατ' παρέκβασιν θεωρουμένας ταῖς ἐκ τῶν θεωρημάτων συνεσηκύαις, καθάπερ ὑγίειαν καὶ ἰσχνότητα μεθεωρημένην ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ παρεκτείνεσθαι τὴν ὑγίειαν, καθάπερ τῇ καλλίστου οἰκονομίᾳ τὴν ἰσχνότητα. καλοῦνται δ' ἀθεώρητοι ὅτι μὴ ἔχουσι συγκατάθεσις, ἀλλ' ὑπτίονται, καὶ περὶ φαύλους γίγνονται, ὡς ὑγίεια, ἀνδρεία. τεκμήριον δὲ τὸ ὑπαρκτὴν εἶναι τὴν ἀρετὴν φησὶν ὁ Ποσειδώνιος ἐν τῷ περὶ τοῦ ἠθικοῦ λόγου, τὸ γενέσθαι ἐν σωκρατικοῖς περὶ Σωκράτους, Διογένους, καὶ Ἀντισθένους. εἶναι δὲ καὶ τὴν κακίαν ὑπαρκτὴν διὰ τὸ ἀντικεῖσθαι τῇ ἀρετῇ. διδακτὴν τε εἶναι αὐτὴν, (λέγω δὲ τὴν ἀρετὴν) καὶ Χρύσιππος ἐν τῷ περὶ τέλους φησὶ, καὶ Κλεάνθης καὶ Ποσειδώνιος ἐν τοῖς περὶ ἠθικοῖς, καὶ Ἑκάτων. ὅτι δὲ διδακτὴ ἐστι, δῆλον ἐκ τοῦ γίνεσθαι ἀγαθοὺς ἐκ φαύλων. Παναίτιος μὲν οὖν δύο φησὶν ἀρεταὶς, θεωρητικὴν καὶ πρακτικὴν· ἄλλοι δὲ λογικὴν, καὶ φυσικὴν, καὶ ἠθικήν· τέλειας δὲ, οἱ περὶ Ποσειδώνιον· καὶ πλείονας, οἱ περὶ Κλεάνθην, καὶ Χρύσιππον, καὶ Ἀντίπατρον. ὁ μὲν γὰρ Ἀπολλοφάνης μίαν λέγει, τὴν φρόνησιν. τῶν δὲ ἀρετῶν, τὰς μὲν, πρώτας, τὰς δὲ, ταύτας ὑποτεταγμένας. πρώτας μὲν τὰς δὲ, φρόνησιν, ἀνδρείαν, δικαιοσύνην, σωφροσύνην· ἐν εἴδει δὲ τούτων, μεγαλοψυχίαν, ἐγκράτειαν, καρτερίαν, ἀτυφίαν, εὐβουλίαν. καὶ τὴν μὲν φρόνησιν, εἶναι ὑπεκμελῆ κακῶν καὶ ἀγαθῶν, καὶ οὐδετέρων· τὴν δὲ δικαιοσύνην, ὑπεκμελῆ ὧν αἱρετέον καὶ διωκτέον, καὶ οὐδετέρων· τὴν δὲ μεγαλοψυχίαν, ὑπεκμελῆ ἕξιν ὑπερτείνουσαν ποιοῦσαν τῶν συμβαινόντων κοινῇ φαύλων τε καὶ σπουδαίων· τὴν δὲ ἐγκράτειαν, διαθέσιν αἱρετὸν τῶν κατ' ὀρθὸν λόγον, ἢ ἕξιν ἀήττητον ἡδονῶν· ἢ δὲ καρτερίαν, ὑπεκμελῆ

ἢ ἔξιν ὧν ἐμμενετέον καὶ μή, καὶ οὐδετέρων· τὴν δ' ἀρετὴν χρῆσιν, οἷον θεωρητικὴν τὸ καθήκοντος ἢ ἐξ ἁπάντων τὴν δ' εὐβουλίαν, ὀπτικήν τὸ σκοπεῖσθαι ποῖα καὶ πῶς πρακτέον, πρᾶξιν συμφερόντων. ἀπάλογον δὲ καὶ τὴν κακίαν, τὰ μὲν εἰς πρότασιν, τὰ δ', εἰς ταύτας. οἷον ἀφροσύνην μὲν, καὶ δειλίαν, καὶ ἀδικίαν, καὶ ἀκολασίαν, ἐν ταῖς προτάσεσιν ἁμαρτάνειν δ', καὶ βραδυῶσαν, καὶ κακοβουλίαν, ἐν ταῖς εἰς ταύτας. εἶναι δ' ἀγαθὰς μὲν τὰς καθήκοντας, ὧν αἱ ἀρεταὶ ὀπτικαί. ἀγαθὸν δὲ κοινῶς μὲν, τὸ τι ὄφελος· ἰδίως δ', ὃ πρὸς ταύτην ἢ κἀκ ἑτέρου ὠφελείας. ὅθεν αὐτὴν τε τὴν ἀρετὴν καὶ τὸ μετέχειν αὐτῆς ἀγαθὸν εἶναι φασιν· οὕτω λέγεσθαι. εἶναι, τὸ ἀγαθὸν ἀφ' οὗ συμβαίνει, ὡς τὴν πρᾶξιν τὴν κατ' ἀρετήν. ὑφ' οὗ δέ, ὡς τὸν σπουδαῖον τὸ μετέχοντα τῆς ἀρετῆς. ἄλλως δὲ οὕτως ἰδίως ὀρίζονται τὸ ἀγαθὸν, τὸ τέλειον καὶ φύσιν λογικοῦ. διόπερ οὐδ' εἶναι τὴν ἀρετὴν, ὡς μετέχοντα, τάς τε πράξεις τὰς κατ' ἀρετὴν καὶ τοὺς σπουδαίους εἶναι. ὀπτήματα δέ, τήν τε χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὰ πλήσια. ὡσαύτως δὲ καὶ τῶν κακῶν τὸ μὲν εἶναι ἀφροσύνην, δειλίαν, ἀδικίαν, καὶ τὰ πλησιάζοντα μετέχοντα δὲ κακῶν, τάς τε πράξεις τὰς κατὰ κακίαν καὶ τοὺς φαύλους. ὀπτήματα δὲ, τήν τε δυσθυμίαν καὶ τὴν δυσφροσύνην, καὶ τὰ ὅμοια. ἔτι τῶν ἀγαθῶν, τὰ μὲν εἶναι κατὰ ψυχὴν, τὰ δὲ ἐκτός· ἃ δ' ἔστι πρὸς ψυχὴν, οὔτε ἐκτός· τὰ μὲν πρὸς ψυχὴν, ἀρεταὶ, καὶ τὰς κατὰ ταύτας πράξεις· τὰ δ' ἐκτὸς, τὸ, τὴν σπουδαίαν ἔχειν πατρίδα καὶ σπουδαῖον φίλον, καὶ τὴν τούτων εὐδαιμονίαν. τὰ δ' οὔτε ἐκτὸς, οὔτε πρὸς ψυχὴν, τὸ αὐτὸν ἑαυτῷ εἶναι σπουδαῖον καὶ εὐδαίμονα. ἀπάλιν δὲ, καὶ τῶν κακῶν, τὰ μὲν πρὸς ψυχὴν εἶναι τὰς κακίας, καὶ τὰς κατ' αὐτὰς πράξεις· τὰ δ' ἐκτὸς, τὸ ἄφρονα πατρίδα ἔχειν, καὶ ἄφρονα φίλον, καὶ τὴν τούτων κακοδαιμονίαν· τὰ δὲ οὔτε ἐκτὸς, οὔτε πρὸς ψυχὴν, τὸ αὐτὸν ἑαυτῷ εἶναι φαῦλον καὶ κα-

κοδαίμονα. ἐπὶ τῶν ἀγαθῶν τὰ μὲν εἶ πελικά, τὰ δὲ πιπτικά· τὰ ᾗ, πελικὰ καὶ πιπτικά. τὴν μὲν οὖν φίλον, καὶ τὰς ἀπ' αὐτῆς γινομένας ὠφελείας, πιπτικὰ εἶ ἀγαθά· θάρσος ᾗ, καὶ φρόνημα, καὶ ἐλευθερίαν, καὶ τέρψιν καὶ εὐφροσύνην, καὶ ἀλυπίαν πᾶσαν καὶ τὴν κατ' ἀρετὴν ἕξιν, τελικά. πιπτικὰ δὲ καὶ τελικὰ εἶ ἀγαθά· καθὸ μὲν γὰρ ἀποτελοῦσι τὴν εὐδαιμονίαν, πιπτικά ἐστιν ἀγαθά· καθὸ δὲ συμπληροῦσιν αὐτὴν ὥστε μέρη αὐτῆς γίνεσθαι, τελικά. ὁμοίως δὲ καὶ τῶν κακῶν τὰ μὲν εἶ τελικά, τὰ δὲ πιπτικά, τὰ δὲ ἀμφοτέρως ἔχοντα. τὴν μὲν ἐχθρὸν καὶ τὰς ἀπ' αὐτῆς γινομένας βλάβας, πιπτικὰ εἶ· κατάπληξιν δὲ εἶ καὶ ταπεινότητα, καὶ δουλείαν, καὶ ἀπρέπειαν, καὶ δυσθυμίαν, καὶ συνειλυπίαν, καὶ πᾶσαν τὴν κατὰ κακίαν ἕξιν, τελικά· ἀμφοτέρως δὲ ἔχοντα. ἐπὶ καθὸ μὲν ἀποτελοῦσι τὴν κακοδαιμονίαν, πιπτικά ἐστι· καθὸ δὲ συμπληροῦσιν αὐτήν, ὥστε μέρη αὐτῆς γίνεσθαι, τελικά. ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ διαθέσεις· τὰ δὲ οὔτε ἕξεις, οὔτε διαθέσεις. διαθέσεις μέν, αἱ ἀρεταί· ἕξεις δὲ τὰ ἐπιτεύγματα· οὔτε δὲ ἕξεις, οὔτε διαθέσεις, αἱ ἐνέργειαι. κοινὸν δὲ τῶν ἀγαθῶν ἐστι τὸ μὴ εἶναι ἀπειρίαν καὶ ἀγνοιαν· ἁπλοῦν δὲ ἐστιν ἀγαθὸν, ἐπιστήμη. καὶ αἰεὶ μὲν παρόντα, αἱ ἀρεταί· οὐκ αἰεὶ δὲ, οἷον χαρὰ, εὐπάθησις. παῦ δὲ ἀγαθὸν συμφέρον εἶ, καὶ δέον, καὶ λυσιτελές, καὶ χρήσιμον, καὶ θύχρηστον, καὶ καλὸν, καὶ ὠφέλιμον, καὶ αἱρετὸν, καὶ δίκαιον. συμφέρον μὲν, ὅτι φέρει ταυτί, ὧν συμβαινόντων ὠφελούμεθα· δέον δὲ, ὅτι συνέχει ἐν οἷς χρή· λυσιτελὲς δὲ, ὅτι λύει τὰ πλούμενα εἰς αὐτὸ, ὥστε τὴν αὐτὴν καταλλαξιν τῆς ἐκ τῆς προσμαπείας ἀφαίρειν τῇ ὠφελείᾳ· χρήσιμον δὲ, ὅτι χρείαν ὠφελείας παρέχεται· θύχρηστον δὲ, ὅτι τὴν χρείαν ἐπαγε τὴν ἀπορράζεται· καλὸν δὲ, ὅτι συμμέτρως ἔχει πρὸς τὴν ἑαυτῆς χρείαν· ὠφέλιμον δὲ, ὅ-

τι τοιοῦτόν ἐστιν ὥστε ὠφελεῖν. αἱρετὸν δέ, ὅτι τοιοῦτόν ἐστιν ὥστε λόγος αὐτὸ αἱρεῖσθαι· δίκαιον ἢ, ὅτι νόμῳ ἐστὶ σύμφωνον, καὶ κοινωνίας πικτικόν. καλὸν δὲ λέγουσι τὸ τέλειον ἀγαθόν, ἢ ὃ τὰ πάντας ἀπέχειν τοὺς ὅρους τοὺς ἀριθμοὺς ὑπὸ τῆς φύσεως, ἢ τὸ τελείως σύμμετρον. εἴδη δ' εἶ τὸ καλοῦ τέτταρα, δίκαιον, ἀνδρῶδες, κοσμιον, ὁσιωτικόν· ἐν γὰρ τούτοις δὲ τὰ καλὰς πράξεις συμπληροῦσθαι. αἰσχρὸν δὲ καὶ τὸ αἰσχροῦ εἶ εἴδη τέτταρα, τό, τε ἄδικον, καὶ τὸ δειλόν, καὶ ἄκοσμον, καὶ ἄφρον. λέγεσθαι δὲ τὸ καλὸν μοναχῶς μὲν, τὸ ἐπαινετὸν παρεχόμενον τοῖς ἔχουσιν ἀγαθὸν ἐπαίνου ἄξιον· ἑτέρως δὲ, τὸ οὕτω πεφυκέναι πρὸς τὸ ἴδιον ἔργον· ἄλλως δὲ, τὸ ὁσιωτικὸν καὶ ὁσιομιμητόν. ὅταν λέγωμεν μόνον τὸν σοφὸν, ἀγαθὸν καὶ εἶ. λέγουσι δὲ μόνον τὸ καλὸν, ἀγαθὸν εἶ, κατὰ φησιν Ἑκάτων ἐν τῷ τρίτῳ Περὶ ἀγαθῶν, καὶ Χρύσιππος ἐν τοῖς Περὶ τοῦ καλοῦ. εἶ δὲ τοῦτο ἀρετὴ, καὶ τὸ μετέχον ἀρετῆς· ᾧ ἔστιν ἴσον, τὸ πᾶν ἀγαθὸν, καλὸν εἶ· καὶ τὸ ἰσοδυναμεῖν τῷ καλῷ τὸ ἀγαθόν· ὥστε ἴσον ἐστὶ τοῦτο. ἐπεὶ γὰρ ὅσον ἀγαθόν, καλὸν ὅσον· ἔστι δὲ καλὸν ἀγαθὸν ἄρα ὅσον. δοκεῖ δὲ πάντα τὰ ἀγαθὰ ἴσα εἶ, καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον εἶ αἱρετὸν, καὶ μήτε αὔξεσιν μήτε ὑπόπτωσιν δέχεσθαι. τῶν δὲ ὄντων φασὶ τὰ μὲν, ἀγαθὰ εἶ· τὰ δὲ, κακὰ· τὰ δὲ οὐδέτερα. ἀγαθὰ μὲν οὖν τάς τε ἀρετὰς, φρόνησιν, δικαιοσύνην, ἀνδρείαν, σοφροσύνην, καὶ τὰ λοιπά· κακὰ δὲ, τὰ ἐναντία, ἀφροσύνην, ἀδικίαν, καὶ τὰ λοιπά· οὐδέτερα δὲ, ὅσα μήτε ὠφελεῖ μήτε βλάπτει· οἷον ζωὴν, ὑγίειαν, ἡδονὴν, κάλλος, ἰσχύν, πλοῦτον, δόξαν, εὐγλωττίαν· καὶ τὰ τούτοις ἐναντία, θάνατον, νόσους, πόνους, αἶσχος, ἀδοξίαν, πενίαν, ἀδοξίαν, δυσγλωττίαν, καὶ τὰ τούτοις παραπλήσια· κατὰ φησιν Ἑκάτων ἐν ἑβδόμῳ Περὶ τέλους, καὶ Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ, καὶ Χρύσιππος. μὴ γὰρ εἶ ταῦτα ἀγαθὰ, ἀλλ' ἀδιάφορα κατ' εἴδος προηγμένα· ὡς γὰρ ἴδιον θερμοῦ τὸ θερμαίνειν,

μαίνειν, οὐ τὸ ψύχειν, οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν, καὶ τὸ βλάπτειν. οὐμᾶλλον ὃ ὠφελεῖ ἢ βλάπτει ὁ πλοῦτος, καὶ ἡ ὑγίεια· οὐκ ἄρα ἀγαθὸν οὔτε πλοῦτος οὔτε ὑγίεια. ἔτι τέ φασιν, ᾧ ὅτιν οὖ καὶ κακῶς χρῆσθαι, τοῦτο οὐκ ἔστιν ἀγαθόν· πλούτῳ δὲ καὶ ὑγιείᾳ ἔστιν οὖ καὶ κακῶς χρῆσθαι· οὐκ ἄρα ἀγαθὸν πλοῦτος καὶ ὑγίεια. Ποσειδώνιος μὴν καὶ τοῦτα φησὶ τῶν ἀγαθῶν εἶ). ἀλλ' οὐδὲ τὴν ἡδονὴν ἀγαθόν φασιν, Ἑκάτων τε ἐν τῷ ἐννεακαιδεκάτῳ Περὶ ἀγαθῶν, καὶ Χρύσιππος ἐν τοῖς Περὶ ἡδονῆς. εἶ) γὰρ καὶ αἱρεταὶ ἡδοναί· μηδὲν δὲ αἱρετὸν, εἶ) ἀγαθόν. ὠφελεῖν δέ ὅτι κινεῖν ἢ ἴσχειν, κατ' ἀρετήν· βλάπτειν δὲ, κινεῖν ἢ ἴσχειν, κατὰ κακίαν. διχῶς δὲ λέγεσθαι ἀδιάφορα· ἅπαξ μέν, τὰ μήτε πρὸς εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συνεργοῦντα, ὡς ἔχειν πλοῦτον, δόξαν, ὑγίειαν, ἰσχύν· τὰ ὅμοια· ἐνδέχεσθαι γὰρ καὶ χρωμένους τούτοις εὐδαιμονεῖν, καὶ πρὸς αὐτῶν χρήσεως εὐδαιμονικῆς οὔσης ἢ κακοδαιμονικῆς. ἄλλως δὲ λέγεσθαι ἀδιάφορα, τὰ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικά· ὡς ἔχειν τὸ ἀρτᾶσθαι ἔχειν ὅπως τὴν κεφαλὴν τείχους ἢ πρὸς πύλας, ἢ ἐκτείνειν τὸν δάκτυλον ἢ συστέλλειν· τῶν πρώτων ἀδιαφόρων οὐκέτι οὕτως λεγομένων. ὁρμητικὸν γάρ ὅτιν ἐκεῖνα καὶ ἀφορμῆς κινητικά. διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, τὰ οὐδετέρων ὄντων ἐν ἐχόντων πρὸς αἵρεσιν καὶ φυγήν. τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα, τὰ δὲ, ἀποπροηγμένα. προηγμένα μέν, τὰ ἔχοντα ἀξίαν· ἀποπροηγμένα δὲ, τὰ ἀπαξίαν ἔχοντα. ἀξίαν δὲ, τὴν μέν τινα λέγουσι σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ὅτι πρός τι ἀγαθόν· τὴν δὲ, εἶ) μίσην τινὰ δύναμιν ἢ χρείαν συμβαλλομένην πρὸς τὸν κατὰ φύσιν βίον, ὅμοιον εἶναι λέγουσι τινα πρόσφερες πρὸς τὸν κατὰ φύσιν βίον, πλοῦτος ἢ ὑγίεια· τὴν δὲ εἶ) ἀξίαν ἀμοιβὴν δοκιμασθῆναι, ὧν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ· ὅμοιον εἶναι ἀμείβεσθαι πυροὺς πρὸς τοὺς σὺν ἡμίσει κριθάς. προηγμένα μὲν οὖν εἶ) τὰ καὶ ἀξίαν ἔχοντα· οἷα, ὅτι μὲν τῶν

ψυχικῶν, ἀφυΐαν, τέχνην, ἀσκητήν, καὶ τὰ ὅμοια· ὅτι δὲ τῶν σωματικῶν, ζωὴν, ὑγίειαν, ῥώμην, ἰσχύν, ἀρίστητα, κάλλος· ὅτι δὲ τῶν ἐκτὸς, πλοῦτον, δόξαν, ἀνθυΐειαν, & τὰ ὅμοια· ὅτι δὲ τῶν σωματικῶν, θάνατον, νόσον, ἀσθένειαν, καχεξίαν, πόνον, αἶσχος, καὶ τὰ ὅμοια· ὅτι δὲ τῶν ἐκτὸς, πενίαν, ἀδοξίαν, ἀνθυΐειαν, καὶ τὰ ἀνάπαλιν. οὔτε ἀγαθόν, οὔτε κακόν, & οὐδετέρως ἔχοντα. ἔτι, τῶν ἀγαθῶν, & μὲν, δι' αὐτὰ αἱρετά, τὰ δὲ, δι' ἕτερα· τὰ δὲ, καὶ δι' αὐτὰ καὶ δι' ἕτερα. δι' αὐτὰ μὲν, φρόνησις, ἀλήθεια, & τὰ ὅμοια· δι' ἕτερα δὲ, πλοῦτος, ὑγίεια, & τὰ ὅμοια· δι' αὐτὰ δὲ καὶ δι' ἕτερα, ἰσχὺς, ἀναισθησία, φρόνησις. δι' αὐτὰ μὲν, ὅτι κατὰ φύσιν ὄντι· δι' ἕτερα δὲ, ὅτι πρὸς χρείας ἐστὶν ἁπλῶς. ὁμοίως δὲ ἔχει καὶ τὰ ἀποφατικὰ, κατ' ἐναντίον λόγον. ἔτι δὲ καθῆκον φασὶν εἶναι ὃ προσαχθὲν, εὔλογόν τε ἔχει ἀπολογισμὸν, οἷον τὸ ἀκόλουθον ἐν τῇ ζωῇ, ὅσον καὶ ὅτι τὰ φυτὰ καὶ ζῶα διατείνει. ἐφαρμόζει γὰρ καὶ ἐπὶ τούτων καθήκοντα. καταγορεύεται δὲ ὅτως ἀπὸ τοῦ πρόσω ζώου τὸ καθῆκον, ἀπὸ τοῦ κατὰ ζωὴν ἥκειν, τῆς προσηγορίας εἰλημμένης. ἐπιτήδευμα δὲ, αὐτὸ εἶναι, τῆς κατὰ φύσιν κατασκευῆς οἰκεῖον. τῶν δὲ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν, καθήκοντα εἶναι· τὰ δὲ, παρὰ τὸ καθῆκον. καθήκοντα μὲν οὖν εἶναι, ὅσα λόγος αἱρεῖ πράττειν, ὡς ἔχει, γονεῖς τιμᾶν, ἀδελφοὺς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον δὲ, ὅσα μὴ αἱρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα, γονέων ἀμελεῖν, τὰ χείρω ἀφορᾶν, φίλοις μὴ συμπάσχεσθαι, πατρίδος ὑπεροράν, καὶ τὰ παραπλήσια· οὔτε δὲ καθήκοντα, οὔτε παρὰ τὸ καθῆκον, ὅσα οὔτε αἱρεῖ λόγος πρᾶξαι, οὔτε ἀπαγορεύει, οἷον καρφὸς αἴρεσθαι, χαρτίον κατεῖν, σπερμίδα, καὶ τὰ ὅμοια τούτοις. καὶ τὰ μὲν εἶναι καθήκοντα, αἴρεσιν ἐπάσεως· τὰ δὲ, περιττά. καὶ αἴρεσιν μὲν ἐπάσεως, πάσαν, ὑγείας ὑπομελεῖσθαι, καὶ αἰσθητείων,

καὶ τὰ ὅμοια· καὶ τὰ φθείσασιν δὲ, τὸ πηροῦν ἑαυτὸν, καὶ τὴν κτῆσιν διαῤῥιπτεῖν· ἀνάλογον δὲ καὶ τῷ φθορᾷ τὸ καθῆκον. ἔτι, τῶν καθηκόντων, τὰ μὲν ἀεὶ καθήκει, τὰ δὲ οὐκ ἀεί. καὶ ἀεὶ μὲν καθήκει τὸ κατ' ἀρετὴν ζῆν· οὐκ ἀεὶ δὲ, τὸ ἐρωτᾶν, τὸ ἀποκρίνεσθαι, καὶ φθείρειν, καὶ τὰ ὅμοια. ὁ δ' αὐτὸς λόγος καὶ ὅτι τῶν φθορᾷ τὸ καθῆκον. ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τὸ καθῆκον, ὡς τὸ πείθεσθαι τοῖς παῖδας τοῖς παιδαγωγοῖς. φασὶ δὲ τὴν ψυχὴν εἶναι ὀκταμερῆ· μέρη δὲ αὐτῆς, τά τε πέντε αἰσθητήρια, καὶ τὸ φωνητικὸν ὄργανον, καὶ τὸ διανοητικὸν, ὅπερ ἐστὶν αὐτὴ ἡ διάνοια· καὶ τὸ γονιμικόν. ἐκ δὲ τῶν φθορῶν γίνεσθαι τὴν διαστροφὴν ὅτι τὴν διάνοιαν, ἀφ' ἧς πολλὰ πάθη βλασταίνει, καὶ ἀκαταστασίας ἅπαξ. ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα, ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα. τῶν δὲ παθῶν τὰ αἰωνιώτατα (κατά φησιν Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ παθῶν, καὶ Ζήνων ἐν τῷ Περὶ παθῶν) εἶναι λύπη πέπαρσις, λύπη, φόβον, ὀργὴν θυμίαν, ἡδονήν. δοκεῖ δὲ αὐτοῖς τὰ πάθη κρίσεις εἶναι, κατά φησι Χρύσιππος ἐν τῷ Περὶ παθῶν. ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι, καὶ ἡ μέθη δὲ, καὶ ἡ ἀκολασία ὁμοίως, καὶ τὰ ἄλλα. καὶ τὴν μὲν λύπην, εἶναι συστολὴν ἄλογον. εἴδη δὲ αὐτῆς, ἔλεον, φθόνον, ζῆλον, ζηλοτυπίαν, ἄχθος, ἀνιόχλησιν, αἰδῶ, ὀδυνήλιον, σύγχυσιν. ἔλεον μὲν οὖν εἶναι λύπην, ὡς ἐπ' ἀναξίως κακοπαθοῦντι· φθόνον δὲ, λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ζῆλον δὲ, λύπην ὅτι τῷ ἄλλῳ παρεῖναι ὧν αὐτὸς ὀρέγεται· ζηλοτυπίαν δὲ, λύπην ὅτι τῷ ἄλλῳ παρεῖναι ἃ καὶ αὐτὸς ἔχει· ἄχθος δὲ, λύπην βαρυνούσαν· ἀνιόχλησιν, λύπην στενοχωροῦσαν, καὶ δυσχωρίαν τῷ ὁρμᾷ ἐνοχλοῦσαν· αἰδῶ, λύπην ἐπὶ δοξαλογίᾳ μᾶλλον οὖσαν, ἢ ὑπερηνορεούσῃ· ὀδυνήλιον, λύπην ὑπόπτου· σύγχυσιν, λύπην ἄλογον, ἀποκναίουσαν καὶ κωλύουσαν τὰ πα-

ρόντα σωφρᾶν. ὁ δὲ φόβος, ὅτι πρόσδοκία κακοῦ. εἰς ἣν τὸν φόβον ἀνάγεται καὶ ταῦτα, δεῖμα, ὄκνος, αἰσχύνη, ἔκπληξις, θόρυβος, ἀθυμία. δεῖμα μὲν οὖν ὅτι φόβος δέος ἐμποιῶν· αἰσχύνη δὲ, φόβος ἀδοξίας· ὄκνος δὲ, φόβος μελλούσης ἐνεργείας· ἔκπληξις δὲ, φόβος ἐκ φαντασίας ἀσυνήθους πρόσκαιρος· θόρυβος δὲ, μετὰ καταπλήξεως φωνῆς· ἀθυμία δὲ, φόβος ἀδήλου πράγματος. ἐπιθυμία δέ ἐστιν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται καὶ ταῦτα, ἀσπασία, μῖσος, φιλοτεκνία, ὀργή, ἔρως, μανία, θυμός. ἔστι δὲ ἡ μὲν ἀσπασία ἐπιθυμία τις ἐν ἀποτεύξει, καὶ οἷον κεχωρισμένη ἐκ τοῦ πράγματος, πεπαυμένη δὲ διακενῆς ἐπ' αὐτὴ καὶ ἀσωμένη· μῖσος δέ ἐστιν ἐπιθυμία τις τοῦ κακῶς εἶναί τινι, μὴ πρόκοπῆς τινος ἢ ἀποκαταστάσεως· φιλοτεκνία δὲ, ἐπιθυμία τις πρὸς αἵρεσιν· ὀργὴ δὲ, ἐπιθυμία τιμωρίας, τοῦ δοκοῦντος ἠδικηκέναι οὐ προσηκόντως· ἔρως δέ ἐστιν ἐπιθυμία τις, οὐχὶ πρὸς ἀσυνδέτους (ἔστι γὰρ ἐπιβολὴ φιλοποιΐας διὰ κάλλος ἐμφανὲς νόμιμον) μῆνις δέ ἐστιν ὀργὴ πεπαλαιωμένη καὶ ἐπίκοτος, ἐπιτηρητικὴ δέ. ὅθεν ἐμφαίνεται διὰ τῶνδε,

Εἴωθε γάρ τε χόλον γε καὶ αὐτήμαρ καταπέψαι,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσαι.

ὁ δὲ θυμός ἐστιν ὀργὴ ἀρχομένη. ἡδονὴ δέ ἐστιν ἄλογος ἔπαρσις, ἐφ' αἱρετῷ δοκοῦντι εἶναι ἀφ' ἣν τάττεται κήλησις, ἐπιχαιρεκακία, τέρψις, διάχυσις. κήλησις μὲν οὖν ἐστιν ἡδονὴ δι' ὤτων καταπλοῦσα· ἐπιχαιρεκακία δὲ, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· τέρψις δὲ, οἷον ῥέψις, πρὸς τὴν ψυχὴν ἐπὶ τὸ αἰσθητόν· διάχυσις δὲ, αἴσθησις ἀρετῆς. ὡς δὲ λέγεται τινὰ ἐπὶ τοῦ σώματος ἀρρωστήματα, οἷον, πυρέξαι, καὶ ἀρθρίτιδες, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, φιλοδοξία, καὶ φιληδονία, καὶ τὰ τοιαῦτα. τὸ δὲ ἀρρώστημα, ὅτι νόσημα μετὰ ἀσθενείας· τὸ δὲ νόσημα, οἵησις σφόδρα δοκοῦσα αἱρετῆ. καὶ ὡς ἐπὶ τοῦ σώματος ἀνεμπλησίαι τινές λέγονται, οἷον καταῤῥοαὶ καὶ διάῤῥοιαι· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς εἰσιν ἀνακαθαρσίαι, οἷον φλυαρίαι,

ἀνελεημοσύνη, ἔλεος, καὶ τὰ ὅμοια πάθη. εἶναι δὲ καὶ τρεῖς εὐπαθείας φασὶ τὰς χαρὰν, εὐλάβειαν, βούλησιν. καὶ τὴν μὲν χαρὰν ἐναντίαν φασὶν εἶναι τῇ ἡδονῇ, οὖσαν βούλησιν ἕπαρσιν· τὴν δὲ εὐλάβειαν, τῷ φόβῳ, οὖσαν βούλησιν ἐκκλισιν· (φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθήσεσθαι δὲ) τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν φασὶν εἶναι τὴν βούλησιν, οὖσαν βούλησιν ὄρεξιν. καθάπερ οὖν ὑπὸ τὰ ὅμοια πάθη πίπτειν φασὶ, τὸν αὐτὸν τρόπον καὶ ὑπὸ τὰς ὅμοιας εὐπαθείας· καὶ ὑπὸ μὲν τὴν βούλησιν, βούλησιν, εὐμένειαν, ἀσπασμὸν, ἀγάπησιν· ὑπὸ δὲ τὴν εὐλάβειαν, αἰδῶ, ἀγνοιαν· ὑπὸ δὲ τὴν χαρὰν, τέρψιν, εὐφροσύνην, εὐθυμίαν. φασὶ δὲ καὶ ἀπαθῆ εἶναι τὸν σοφὸν, διὰ τὸ ἀνέμπτωτον εἶναι. εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτρέπτῳ. ἄτυφόν τε εἶναι τὸν σοφόν· ἴσως γὰρ ἔχειν τινὰς τὸ ἔνδοξον καὶ τὸ εὔδοξον. εἶναι δὲ καὶ ἄλλον ἄτυφον, κατ' ἐπίκτησιν πεπαιδευμένον, ὅς ἐστι φαῦλος. καὶ αὐστηροὺς δέ φασιν εἶναι πάντας τοὺς σπουδαίους, τῷ μήτε αὐτοὺς τινὰς ἡδονῇ ὁμιλεῖν, μήτε παρ' ἄλλων τὰς τινὰς ἡδονῇ τινος δέχεσθαι. καὶ ἄλλον δὲ εἶναι αὐστηρὸν, ἁπλῶς λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ τινὲς μὲν φαρμακοποιίαν χρῶνται, τινὲς δὲ τινὶ πόσιν οὐ πάνυ. ἀκοινώνητον τοῖς σπουδαίοις, φυλακτικόν τε εἶναι τοῦ ὅπως τι βέλτιον αὐτῶν παιδεύειν, διὰ τὴν ἀσθένειαν τῆς τὰ φαῦλα μὲν ἀποκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι πιθούσης ἁπλῶς. τὸν δημηγορικὸν αἰρεῖ ἐν τῇ φωνῇ ὡς πλάσμα τι καὶ τῷ εἴδει. ἀπροσλήπτους τε εἶναι· ἐκκλίνειν γὰρ τὸ καθῆκον. καὶ οἰνωθήσεσθαι μὲν, οὐ μεθυσθήσεσθαι δέ. ἔτι δὲ οὐδὲ μανήσεσθαι· τινὲς πεισθῆναι μέντοι ποτὲ αὐτῷ φαντασίας ἀλλοκότους, διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ τὸν τῶν αἱρετῶν λόγον, ἀλλὰ κατὰ φύσιν. οὐδὲ μὴν λυπηθήσεσθαι τὸν σοφὸν, διὰ τὸ τὴν λύπην, ἄλογον εἶναι συστολὴν ψυχῆς, ὡς Ἀπολλόδωρος φησὶν ἐν τῇ ἠθικῇ. θείους

πε εἶ). ἔχειν γὰρ ἐν ἑαυτῷ οἱονεὶ θεόν. τὸ δὲ φαῦλον, ἄθεον· διὸ καὶ ἄθεον ὃ εἶ) τὸν ἄθεον, τίνα τε εἶναι πῶς τῷ θεῷ λεγόμενον, καὶ τὸν ἐξουθενητικὸν τοῦ θείου· ὥστε ὅτι εἶ) πάντα φαῦλον. δεισιδαίμονάς τε εἶναι τοὺς ἀπαιδεύτους· ἐμπείρους γὰρ εἶ) τῶν περὶ θεῶν νομίμων· εἶναί τε τὴν δυσσέβειαν ὑπεκκαίειν θεῶν θεραπείας. ἀλλὰ μὴν καὶ θύειν αὐτοὺς θεοῖς, ἀγνοὺς τε ὑπάρχειν· ἐκνθύειν γὰρ τὰ περὶ τοὺς θεοὺς ἁμαρτήματα. καὶ τοὺς θεοὺς ἀγαθοὺς αὐτούς· ὁσίους τε γὰρ εἶ) καὶ δικαίους πρὸς τὸ θεῖον. μόνους τε ἱερεῖς τοὺς σοφούς· ὑπολαμβάνειν γὰρ περὶ θυσιῶν, ἱδρύσεων, καθαρμῶν, τῶν ἄλλων τῶν πρὸς θεοὺς οἰκείων. δοκεῖ δὲ αὐτοῖς καὶ γονέας σέβεσθαι, καὶ ἀδελφοὺς καὶ ἀδελφὰς ἐν δευτέρᾳ μοίρᾳ μετὰ θεούς. φασὶ δὲ καὶ τοὺς πρὸς τέκνα φιλοσοφήσειν, φησὶ κλὼ εἶ) αὐτοῖς, καὶ ἐν φαύλοις μὴ εἶ). ἀρέσκει τε αὐτοῖς ἴσα γίγνεσθαι τὰ ἁμαρτήματα, καθά φησι Χρύσιππος ἐν τῷ πέμπτῳ τῶν ἠθικῶν ζητημάτων, καὶ Περσαῖος, καὶ Ζήνων. εἰ γὰρ ἀληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψεῦδος ψεύδους· οὕτως οὐδὲ ἁμάρτημα ἁμαρτήματος. καὶ γὰρ ὁ ἑκατὸν σταδίους ἀπέχων Καινώβου, καὶ ὁ ἕνα, ὁμοίως οὐκ εἰσὶν ἐν Καινώβῳ. οὕτω καὶ ὁ πλεῖον καὶ ὁ ἔλαττον ἁμαρτάνων, ὁμοίως οὐκ εἰσὶν ἐν τῷ καταρθοῦν. Ἡρακλείδης μέντοι ὁ Ταρσεὺς Ἀντιπάτρου τοῦ Ταρσέως γνώριμος, καὶ Ἀθηνόδωρος, αἴσια φασὶ τὰ ἁμαρτήματα. πλημμελεῖσθαι φασὶ τὸν σοφὸν ἂν μή τι κωλύῃ, ὡς φησι Χρύσιππος ἐν τῷ περὶ βίων. καὶ γὰρ κακίαν ἐφιέναι, καὶ ἐπ' ἀρετὴν παρορμήσειν, καὶ γαμήσειν (ὡς ὁ Ζήνων φησὶν ἐν πολιτείᾳ) καὶ παιδοποιήσεσθαι. ἔτι τε μὴ δεξάσθαι τὸν σοφὸν, τυπτόμενον ψευδεῖ μὴ συγκαταθήσεσθαι μηδενί. κινεῖσθαι τε αὐτόν· εἶ) γὰρ τὸν κινισμὸν συμπίπτειν ἐπ' ἀρετικὴν ὁδόν, ὡς Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ. μεύσεσθαί τε καὶ ἀνθρωπίνων σαρκῶν, καὶ τροφῆσαι. μόνον τε, ἐλεύθερον· τοὺς δὲ φαύλους δούλους. εἶ) γὰρ τὴν ἐλευθερίαν, ἐξουσίαν αὐτοπραγίας·

πλὴ δὲ δουλείαν, στέρησιν αὐτοπραγίας. εἶ) ὃ καὶ ἄλλω δουλείαν πλὴ ὧν ὑποτάξει, καὶ τεί πλω πλὴ ὧν κτήσῃ τε ἢ ὑποτάξει, ἢ ἀπιπήθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ αὕτη. οὐ μόνον ὃ ἐλεύθερος εἶ) τὶς σοφὸς, ἀλλὰ καὶ βασιλέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου, ἥπις τε εἰ μόνος ἀν' τοὺς σοφοὺς ςαίη, καθά φησι Χρύσιππος ἐν ᾧ Περὶ τοῦ κυρίως λεχθῆναι Ζηνώνα τοῖς ὀνόμασιν. ἐγνωκέναι γὰρ φησι δεῖν τὸν ἄρχοντα πρὸς ἀγαθῶν καὶ κακῶν μηδένα ἢ τῶν φαύλων ὀπίσω ἆναι ταῦτα. ὁμοίως ὃ καὶ ἄρχικοὺς, δικαστικούς τε καὶ ῥητορικοὺς μόνους εἶ). τ' ὃ φαύλων οὐδένα. ἔτι καὶ ἀναμαρτήτους, τῶ ἀπροπτώτους εἶ) ἁμαρτήματα. ἀβλαβεῖς τε εἶ). οὐ γὰρ ἄλλους βλάπτειν, οὔτε αὐτούς. ἐλεήμονάς τε μὴ εἶ), συγχωρεῖν τε ἔχειν μηδενὶ μὴ ὑπαιτίαν ταῖς ἐκ τοῦ νόμου ὑπβαλλούσας κολάσεις· ἐπεὶ τό γε εἴκειν, καὶ ὁ ἔλεος, αὐτή τε ἡ ὑπείκεια, οὐδεμιᾷ ὅτι ψυχῇ πρὸς κολάσεις προσπιουμένῃ χρησίμα, μηδὲ οἴεσθαι σκληροτέρας αὐτὰς εἶ). ἔτι γε τὸν σοφὸν οὐδὲν θαυμάζειν τῶν δοκούντων ἔνδοξον, οἷ χαρώνεια, καὶ ἀμπώτιδας, καὶ πύλας θερμῶν ὑδάτων, καὶ πυρὸς ἀναφυσήματα. ἀλλὰ μὴν οὐδ' ἐν ἐρημίᾳ (φασὶ) βιώσεται ὁ σπουδαῖος· κοινωνικὸς γὰρ φύσει καὶ πρακτικός. πλὴ μήτοι ἄσκησιν ἀποδέξεται ὑπὲρ τῆς τοῦ σώματος ὑποστάσεως. δώξεταί τε (φασὶν) ὁ σοφὸς, αἰτούμενος τὰ ἀγαθὰ παρὰ τῶν θεῶν, καθά φησι Ποσειδώνιος ἐν τῷ πρώτῳ Περὶ καθηκόντων, καὶ Ἑκάτων ἐν τοῖς καθηκόντων Περὶ εὐχῶν. λέγουσι δὲ καὶ τὴν φιλίαν ἐν μόνοις τοῖς σπουδαίοις εἶ), διὰ τὴν ὁμοιότητα. φασὶ δ' αὐτοῖς κοινωνίαν ζωῆς εἶ)· τῶν κατὰ τὸν βίον, χρωμένων ἡμῶν τοῖς φίλοις ὡς ἑαυτοῖς. δι' αὐτὸν τε αἱρετὸν τὸν φίλον ἀποφαίνονται, καὶ τὴν πολυφιλίαν ἀγαθόν. ἔν τε τοῖς φαύλοις μὴ εἶ) φιλίαν. μηδενὶ δὲ τῶν φαύλων φιλονεικεῖν. πάντας τε τοὺς ἄφρονας

μαίτεσθαι. οὐ γὰρ φρονίμους εἶ), ἀλλὰ κῆ πλὴν ἴσην τὴν ἀφε-
σύνην μαίνεσθαι πάντα πράττειν. καὶ πάντας τε θεῖν τὸν σο-
φὸν, ὡς καὶ τὰ ποιήματα θεῖν αὐλήματα θεῖν αὐλεῖν τὸν Ι-
σμηνίαν. καὶ τὴν σοφὴν δὲ πάντα εἶ) δεδιέναι γὰρ αὐ-
τὴς πάντα λῆξ-ισίαν τὸν νόμον. τῶν δὲ φαύλων εἶ) διαλέ
γεται, ὃν ὅπερ καὶ τὸν ἄδικον, ἄλλως μὲν τῆς πόλεως, ἄλ-
λως δὲ τῶν χρωμένων φασί. τὰς δὲ ἀρετὰς λέγουσιν ἀν-
ακολουθεῖν ἀλλήλαις, καὶ τὸν μίαν ἔχοντα, πάσας ἔχειν.
εἶ) γὰρ αὐτῆς τὰ θεωρήματα κοινά, καθάπερ Χρύσιππος
ἐν τῷ περὶ τῶν Περὶ ἀρετῶν φησὶν, Ἀπολλόδωρος δὲ ἐν τῇ
φυσικῇ κῆ πλὴν ἀρχαίαν, Ἑκάτων δὲ ἐν τῷ τρίτῳ Περὶ
ἀρετῶν. τὸν γὰρ σπουδαῖον, θεωρητικόν τε εἶ), καὶ πιθανὸν τῶν
πραγτέων· τὰ δὲ πρακτέα καὶ αἱρετέα ὄντι, καὶ ἐπο-
μονητέα καὶ ἐποτεμητέα καὶ ἐμμενητέα. ὥστε εἰ
τὰ μὲν αἱρετικῶς πράττει, τὰ δὲ ἐπομονητικῶς, τὰ δὲ
ἐποτεμητικῶς, τὰ δὲ ἐμμενητικῶς, φρόνιμός τε ὄντι
καὶ αἱρετὸς καὶ δίκαιος καὶ σώφρων. κεφαλαιοδ-
οξάζει τε ἑκάστην τῶν ἀρετῶν πρὸ ἓν ἴδιον κεφάλαιον· οἷον
πλὴν αἱρετὸν πρὸ τὴν ἐπομονητέα, πλὴν φρόνησιν πρὸ
τὰ ποιητέα, καὶ μὴ, καὶ οὐδέτερα· ὁμοίως τε καὶ τὰς ἄλ-
λας πρὸ τὰ οἰκεῖα πρέπειν. ἕπεσθαι δὲ τῇ μὲν φρονή
σει ἀβουλία καὶ σύγχυσις· τῇ δὲ σωφροσύνῃ, ἀπαξία, καὶ κα-
κομοιότης· τῇ δὲ δικαιοσύνῃ, ἰσότης, καὶ ἀνισομοιρία· τῇ δὲ
αἰδοῖ, ἀναισχυντία, καὶ ἀτιμία. ἀρέσκει δὲ αὐτῆς
μηδὲν μεταξὺ εἶ) ἀρετῆς καὶ κακίας· τὸν Πρωταρχικὸν
μεταξὺ ἀρετῆς καὶ κακίας εἶ) λέγοντων πλὴν σεμνοτήν.
ὡς γὰρ δεῖν φασὶν ἢ ὀρθὸν εἶ) ξύλον ἢ στρεβλὸν, οὕτως ἢ δί
καιον ἢ ἄδικον· οὔτε δὲ δικαιότερον, οὔτε ἀδικώτερον. Ὁ
μοίως δὲ καὶ τῶν ἄλλων ὁμοίως. καὶ μὴν πλὴν ἀρετὴν Χρύσιπ-
πος μέν, ἀποβλητὴν Κλεάνθης δὲ, ἀποβλητήν. ὁ μέν, ἀπο
βλητὴν, διὰ μέθην καὶ μελαγχολίαν· ὁ δὲ, ἀποβλη-
τὴν, διὰ βεβαίους καταλήψεις. καὶ αὐτὴν δὲ αἱρετὴν εἶ).

αἱρεῖσθαι γοῦν ἐφ' οἷς καλῶς πεφάλουμεν, ὡς αὐ μόνον τὸ καλὸν εἰδότες ἀγαθόν. αὐτάρκη τε εἶ) αὐτὴν πρὸς εὐδαιμονίαν, καθά φησι Ζήνων καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν, καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ ἀγαθῶν. Εἰ γὰρ (φησὶν) αὐτάρκης ἐστὶν ἡ μεγαλοψυχία πρὸς τὸ παίτων ὑπεραίω ποιεῖν, ἔστι δὲ μέρος ἀρετῆς, αὐτάρκης ἐστὶ καὶ ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν, καταφρονοῦσα καὶ τῶν δοκούντων ἰσχυρῶν. ὁμοίως Παναίτιος καὶ Ποσειδώνιος ὅτι αὐτάρκη λέγουσι τὴν ἀρετὴν, διὰ χρείαν εἶ) φασὶ καὶ ὑγιείας καὶ χορηγίας καὶ ἰσχύος. ἀρέσκει δὲ αὐτοῖς ἢ δι' ἀπαντὸς χρῆσθαι τῇ ἀρετῇ, ὡς οἱ πρὶ Κλεάνθην φασίν. ἀναπόβλητος γάρ ἐστι, καὶ παντὸς τῆ ψυχῇ χρῆται οὔσῃ τελείᾳ ὁ σπουδαῖος. φύσει τε τὸ δίκαιον εἶ), καὶ μὴ θέσει, ὡς καὶ τὸν νόμον καὶ τὸν ὀρθὸν λόγον, καθά φησι Χρύσιππος ἐν τῷ Περὶ καλοῦ. δοκεῖ δὲ αὐτοῖς μήτε τὴν διαφωνίαν ἀφίστασθαι φιλοσοφίας· ἐπεὶ τῷ λόγῳ τούτῳ περιλείψειν ὅλον τὸν βίον, ὡς καὶ Ποσειδώνιος φησὶν ἐν τοῖς περὶ παθῶν. ἀρκεῖν δὲ καὶ τὰ ἐγκύκλια μαθήματα φησὶν ὁ Χρύσιππος. ἔτι ἀρέσκει αὐτοῖς μηδὲν εἶ) ἡμῖν δίκαιον πρὸς τὰ ἄλλα ζῶα, διὰ τὴν ἀνομοιότητα, καθά φησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ δικαιοσύνης, καὶ Ποσειδώνιος ἐν πρώτῳ Περὶ καθήκοντος. καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν τῶν νέων τῶν ἐμφανόντων διὰ τὴν εἶδος τὴν πρὸς ἀρετὴν εὐφυΐαν, ὥς φησι Ζήνων ἐν τῇ πολιτείᾳ, καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ βίων, καὶ Ἀπολλόδωρος ἐν τῇ Ἠθικῇ. εἶ) δὲ τὸν ἔρωτα, ὑπόπολιν φιλοτεχνίας, διὰ καλλοῦς ἐμφανὲς ὄμμα· καὶ μὴ εἶ) σπουδαιότητος, διὰ φιλίας. τὸν γοῦν Θεμιστοκλέα, καὶ πρὸ ἐκείνου φασὶ ἔχειν τὴν ἐρωμένην, διὰ τὸ μισεῖσθαι, ἀπέχεσθαι αὐτῆς. εἶ) οὖν τὸν ἔρωτα φιλίας, ὡς καὶ Χρύσιππος ἐν τῷ Περὶ ἔρωτος φησί· καὶ μὴ εἶ) ὑπὲρ μεμπτὸν αὐτόν. εἶ) δὲ καὶ τὴν ὥραν αἴσθησιν ἀρετῆς. Βίων δέ, πειθὼν ὄντων, ἡδονὴν

ρητικὸν καὶ φαντασικὸν καὶ λογικόν, τὴν τέλειαν φασὶν ἀρετὴν γεγενῆσθαι ὑπὸ τῆς φύσεως ὁπόταν τὸ λογικὸν ζῶον τοὺς ἀνωτέρω καὶ τοὺς ἐξῆς. ὁλόλφος τέ φασιν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὴν σοφόν, καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων· κἂν ἐν σκληροτέρᾳ ψήφηται ἀλγηδόνι, ἢ πηρώσεσιν, ἢ νόσοις ἀνιάτοις. ἀρέσκει δ' αὐτοῖς καὶ κοινὰς εἶναι τὰς γυναῖκας εἶναι τοῖς σοφοῖς· ὥστε τὸν ἐντυγχάνοντα τῇ ἐντυχούσῃ χρῆσθαι, καθά φησι Ζήνων ἐν τῇ πολιτείᾳ, καὶ Χρύσιππος ἐν τῷ Περὶ πολιτείας, ἀλλά τε Διογένης ὁ κυνικὸς, καὶ Πλάτων. παῖδας τε παῖδας ὁπόσους τέρξομεν πατέρων ὕπερ, καὶ ἡ ὅλη μοιχεία ζηλοτυπία φεύγειν ῥηθήσεται. πολιτείαν δὲ ἀρίστην, πόλιν μὲν τὴν ἐκ τε δημοκρατίας καὶ βασιλείας καὶ ἀριστοκρατίας. καὶ ἐν μὲν τοῖς ἠθικοῖς δόγμασιν οὕτω λέγουσι, καὶ τούτων πλείονα μνημονεύειν τῶν ἀποδείξεων τῶν εἰκείων. ταῦτα δ' ὡς ἐν κεφαλαίοις ἡμῖν διελελέχθω, καὶ στοιχειωδῶς. τὸ δὲ φυσικὸν λόγον διαιροῦσιν εἴς τε τὸ περὶ σωμάτων τόπον, καὶ περὶ ἀρχῶν, καὶ στοιχείων, καὶ θεῶν, καὶ περάτων, καὶ τόπου, καὶ κενοῦ. καὶ οὕτω μὲν εἰδικῶς. γενικῶς δ' εἰς τρεῖς τόπους, τόν τε περὶ κόσμου, καὶ τὸ περὶ τῶν στοιχείων, καὶ τρίτον τὸν αἰτιολογικόν. τὸ δὲ περὶτοῦ κόσμου διαιρεῖσθαι φασὶν εἰς δύο μέρη. μιᾷ γὰρ σκέψει ὁπόκοινωνεῖν αὐτὸν καὶ τοὺς ἀπὸ τῶν μαθηματικῶν, καθ' ἓν ζητοῦσι περί τε τῶν ἀπλανῶν καὶ τῶν πλανωμένων· οἷον, εἰ ὁ ἥλιος ὑπὸ γῆν διὰ πλαγίου φαίνεται, καὶ ὁμοίως εἰ ἡ σελήνη· καὶ περὶ διχήσεως, καὶ τῶν ὁμοίων τούτοις ζητημάτων. ἑτέραν δ' αὐτὸν σκέψιν εἶναι μόνοις τοῖς φυσικοῖς ὑπάλλει, καθ' ἓν ζητεῖται ἡ τε οὐσία αὐτοῦ, καὶ εἰ ὁ ἥλιος καὶ οἱ ἀστέρες ἐξ ὕλης καὶ εἴδους, καὶ εἰ ψυχικὸς ἢ ἀψύχης, καὶ εἰ ἔμψυχος ἢ ἄψυχος, καὶ εἰ φθαρτὸς ἢ ἄφθαρτος, καὶ εἰ προνοίᾳ διοικεῖται, καὶ περὶ τῶν λοιπῶν. τὸν τε αἰτιολογικὸν, εἶναι δ' αὐτὸν διμερῆ· μιᾷ μὲν ὑπὸ σκέψει ὁπόκοινωνεῖν αὐτὸν τοῖς ἰατροῖς ζήτησιν, καθ' ἓν ζητοῦσι περί τε

τὸ ἡγεμονικὸν τ ψυχῆς καὶ πῶς ἐν ψυχῇ γινομένων, καὶ πῶς ἐκ σπερμάτ καὶ πῶς τούτοις ὁμοίων. τὸ δ' ἑτέρου καὶ τοὺς ἀπὸ πῶν μαθημάτ αἰτιολογεῖσθαι· οἷ, πῶς ὁρωμεν· πίς ἡ αἰτία τ καὶ τοπικῆς φαντασίας, ὅπως νέφη σωίστανται, βρονταί, καὶ ἴριδες, καὶ ἅλως, καὶ κομῆται, καὶ τὰ ὁμοια. δοκεῖ δ' αὐτοῖς ἀρχαὶ εἶ πῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον, εἶ πῶν ἄποιον οὐσίαν τ ὕλην· τὸ δ' ποιοῦν, τ ἐν αὐτῇ λόγον τὴν θεόν. τοῦτον γὰρ ὄντα ἀΐδιον διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. πίπτουσι δ' τὸ δόγμα ἔκ τ Ζήνωνος μὲν ὁ Κλεάνθης ἐν τῷ Περὶ οὐσίας, Κλεανθίης δὲ ἐν τῷ Περὶ τῶν ἀτόμων, Χρύσιππος δ' ἐν τῇ πρώτῃ τῶν φυσικῶν προς τῷ τέλει, Ἀρχέδημος δ' ἐν τῷ Περὶ στοιχείων, καὶ Ποσειδώνιος ἐν τῷ β τῶν φυσικοῦ λόγου. διαφέρειν δέ φασιν ἀρχὰς καὶ στοιχεῖα· τὰς μὲν γὰρ, εἶ ἀγεννήτους καὶ ἀφθάρτους· τὰ δὲ στοιχεῖα, κτ' πῶν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ σώματα εἶ τὰς ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ, μεμορφῶσθαι. σῶμα δ' ὅτι (φησὶν Ἀπολλόδωρος ἐν τῇ φυσικῇ) τὸ τριχῇ διαστατὸν, εἰς μῆκος, εἰς πλάτος, εἰς βάθος. τοῦτο δὲ καὶ στερεὸν σῶμα καλεῖται. ἐπιφάνεια δ' ὅτι σώματος πρώτας, ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. ὡσαύτως δὲ Ποσειδώνιος ἐν γ Περὶ μετεώρων καὶ κατ' ἐπίνοιαν καὶ καθ' ὑποστασιν ἀπολείπει. γραμμὴ δ' ἐστὶν ἐπιφανείας πρώτας, ἢ μῆκος ἀπλατὲς, ἢ τὸ μῆκος μόνον ἔχον. στιγμὴ δ' ὅτι γραμμῆς πρώτας, ἥπις ὅτι σημεῖον ἐλαχιστον. ἕν τε εἶ θεὸν καὶ νοῦν, καὶ εἱμαρμένην καὶ Δία, πολλαῖς τε ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸ ὄντα, τρέπειν δ' πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὑδωρ· καὶ ὡς περ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τοῦτον σπερματικὸν λόγον ὄντα τοῦ κόσμου, τοιοῦτον ὑπολιπέσθαι ἐν τῷ ὑγρῷ, ἔπειτα προσοικειοῦσθαι τὴν ὕλην πρὸς τὴν ἐξῆς γένεσιν· εἶτα ἀπογονὰς πρῶτον τὰ τέσσαρα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν. λέγει δὲ καὶ αὐτῶν ζήνων τε ἐν τῷ Περὶ τοῦ ὅλου, καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῶν φυσικῶν, καὶ Ἀρχέδημος ἔν τινι Περὶ στοιχείων. ἔστι δὲ στοιχεῖον, ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. τὰ δὲ τέτταρα στοιχεῖα εἶναι κοινὸν τῶν ἀπείρων οὐσίαν τὴν ὕλην. εἶναι δὲ τὸ μὲν πῦρ, τὸ θερμόν· τὸ δὲ ὕδωρ, τὸ ὑγρόν· τὸν τε ἀέρα, τὸ ψυχρόν· καὶ τὴν γῆν, τὸ ξηρόν· οὐ μὴν ἀλλὰ καὶ ἐπὶ ἐν τῷ ἀέρι εἶναι τὸ αὐτὸ μέρος. αἰωπάτερον μὲν οὖν εἶναι τὸ πῦρ, ὃν δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα τὴν τῶν πλανωμένων· μεθ' ἣν τὸν ἀέρα· εἶτα ὕδωρ· ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν. λέγουσι δὲ κόσμον τε χωὸν· αὐτόν τε τὸν θεόν, τὸν ἐκ τῆς ἁπάσης οὐσίας ποιόν, ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγέννητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατ' ἐκπύρωσιν μιᾶς πρεσβύσεως, ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν, καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν. καὶ αὐτὸν δὲ τὸν διακόσμησιν τῶν ἀστέρων, κόσμον εἶναι λέγουσι· καὶ τεῖχος, τὸ σφαιρικὸν ἐξ ἀμφοῖν. κόσμος ἔστι κόσμος ὁ ἰδίως ποιὸς τῆς τῶν ὅλων οὐσίας, ἢ (ὡς φησι Ποσειδώνιος ἐν τῇ μετεωρολογικῇ στοιχειώσει) σύστημα ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν τούτοις φύσεων· ἢ σύστημα ἐκ θεῶν καὶ ἀνθρώπων, καὶ τῶν ἕνεκα τούτων γεγονότων. οὐρανὸς δέ ἐστιν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πάντα ἵδρυται τὰ θεῖα. τὸν δὲ κόσμον οἰκεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν, καθά φησι Χρύσιππος ἐν τοῖς Περὶ προνοίας, καὶ Ποσειδώνιος ἐν τοῖς καὶ δεκάτῳ Περὶ θεῶν, εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς. ἀλλ' ἦ δὴ δι' ὧν μὲν μᾶλλον, δι' ὧν δὲ ἧττον. δι' ὧν μὲν γὰρ ὡς ἕξις διήκει, ὡς διὰ τῶν ὀστῶν καὶ τῶν νεύρων· δι' ὧν δὲ ὡς νοῦς, ὡς διὰ τοῦ ἡγεμονικοῦ. οὕτω δὴ καὶ τὸν ὅλον κόσμον ζῷον ὄντα καὶ ἔμψυχον καὶ λογικόν, ἔχειν ἡγεμονικὸν μὲν τὸν αἰθέρα, καθά φησιν Ἀντίπατρος ὁ Τύριος ἐν τῷ περὶ

Περὶ κόσμου. Χρύσιππος δ' ἐν τῷ δευτέρῳ Περὶ θεῶν οὐσίας, καὶ Ποσειδώνιος ἐν τῷ Περὶ θεῶν, τὸν οὐρανὸν φασὶ τὸ ἡγεμονικὸν τοῦ κόσμου. Κλεάνθης δ', τὸν ἥλιον. ὁ μὲν τοι Χρύσιππος διαφορώτερον πάλιν, τὸ καθαρώτερον τοῦ αἰθέρος ἐν ἑαυτῷ· ὃ καὶ πρῶτον θεὸν λέγουσιν αἰσθητικῶς ὡς πρὸ κεχωρηκέναι διὰ πάντων ἐν ἀέρι, καὶ διὰ πάντων ζώων ἁπάντων καὶ φυτῶν· διὰ δὲ τῆς γῆς αὐτῆς, καθ' ἕξιν ἕνα τὸν κόσμον εἶναι, καὶ τοῦτον περιφερῆ, σχῆμα ἔχοντα σφαιροειδές. πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τὸ τοιοῦτον· καθά φησι Ποσειδώνιος ἐν ιε΄ τῶν φυσικοῦ λόγου, καὶ οἱ περὶ Ἀντίπατρον ἐν τοῖς Περὶ κόσμου. ἔξωθεν δὲ αὐτοῦ περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον· ὅπερ ἀσώματον εἶναι. ἀσώματον δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων οὐ κατεχομένου. ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενόν, ἀλλ' ἑνοῦσθαι αὐτόν· τοῦτο γὰρ αἰτιᾶσθαι τὴν τῶν οὐσιῶν πρὸς τὰ ὁρμητὰ συμπνοιαν καὶ συντονίαν. (φησὶ δὲ περὶ τοῦ κενοῦ Χρύσιππος μὲν ἐν τῷ Περὶ κενοῦ, καὶ ἐν τῷ δευτέρῳ τῶν φυσικῶν τεχνῶν, καὶ Ἀπολλοφάνης ἐν τῇ φυσικῇ, καὶ Ἀπολλόδωρος, καὶ Ποσειδώνιος ἐν δευτέρῳ τοῦ φυσικοῦ λόγου) εἶναι δὲ καὶ ταῦτα ἀσώματα, ὅμοια. εἶναι δὲ καὶ τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. τοῦτον δὲ τὸν μὲν παρωχημότα καὶ τὸν μέλλοντα, ἄπειρον· τὸν δὲ ἐνεστῶτα, πεπερασμένον. ἀρέσκει δὲ αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἔστε γεννητὸν τῷ λόγῳ τῶν δι' αἰσθήσεως νοουμένων, οὔτε τὰ μέρη φθαρτὰ ὄντι καὶ τὸ ὅλον. τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά. (εἰς ἄλληλα γὰρ μεταβάλλει) φθαρτὸς ἄρα ὁ κόσμος. καὶ εἴπερ ὁπωσδεκτικόν ὅτι τῆς ὑπὸ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ὅτι. καὶ ὁ κόσμος δὲ ἐξαιχμάσθαι γὰρ καὶ ἐξυδατοῦσθαι. γίνεσθαι δὲ τὸν κόσμον, ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ διὰ ἀέρος εἰς ὑγρόν, εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ, τὸ δὲ λεπτομερὲς ἐξαερωθῇ, καὶ τοῦτ' ἐπιπλέον λεπτυνθὲν πῦρ ἀποτελέσῃ· εἶτα κρᾶσιν ἐκ

τούτων, φυτά τε, καὶ ζῶα, καὶ τὰ ἄλλα γένη. ὡδὲ δὴ οὖν τῆς γενέσεως καὶ τῆς φθορᾶς τοῦ κόσμου φησὶ Ζήνων μὲν ἐν τῷ Περὶ ὅλου, Χρύσιππος δ' ἐν τῷ α τῶν φυσικῶν, καὶ Ποσειδώνιος ἐν α Περὶ κόσμου, καὶ Κλεάνθης, καὶ Ἀντίπατρος ἐν τῷ ι Περὶ κόσμου. Παναίτιος δ' ἄφθαρτον ἀπεφήνατο τὸν κόσμον. ὅπερ δ' καὶ ζῶον ὁ κόσμος, καὶ λογικόν, καὶ ἔμψυχον, καὶ νοερόν, καὶ Χρύσιππος ἐν α φησὶ Περὶ προνοίας, καὶ Ἀπολλόδωρος φησὶν ἐν τῇ φυσικῇ, καὶ Ποσειδώνιος, ζῶον μὲν οὖν οὕτως ὁρίζεται, οὐσίαν ἔμψυχον αἰσθητικήν. τὸ γὰρ ζῶον τοῦ μὴ ζώου κρεῖττον· οὐδὲν δὲ τοῦ κόσμου κρεῖττον· ζῶον ἄρα ὁ κόσμος. ἔμψυχον δέ, ὡς δῆλον ἐκ τῆς ἡμετέρας ψυχῆς, ἐκεῖθεν οὔσης ἀποσπάσματος. Βοηθὸς δέ φησιν ὅτι καὶ) ζῶον τὸν κόσμον. ὅπερ τε εἶναι ὅτι, Ζήνων φησὶν ἐν τῷ Περὶ ὅλου, καὶ Χρύσιππος, ᾗ Ἀπολλόδωρος ἐν τῇ φυσικῇ, καὶ Ποσειδώνιος ἐν α τοῦ φυσικοῦ λόγου. τὸ δὲ παῖ λέγεται (ὡς φησιν Ἀπολλόδωρος) ὅτι κόσμος, ᾗ καθ' ἕτερον ὅπερ τὸ ἐκ τοῦ κόσμου, καὶ τοῦ ἔξωθεν κενοῦ, σύστημα. ὁ μὲν οὖν κόσμος πεπερασμένος ὅτι τὸ μὲν κενὸν, ἄπειρον. τοῦ δ' ἄστρου, τὰ μὲν ἀπλανῆ συμφέρεσθαι τῷ ὅλῳ οὐρανῷ, τὰ δὲ πλανώμενα κατ' ἰδίας κινεῖσθαι κινήσεις. τὸν δ' ἥλιον λοξὸν τινὰ πορείαν πιεῖσθαι διὰ τοῦ ζωδιακοῦ κύκλου, ὁμοίως καὶ τὴν σελήνην, ἐλικοειδῆ. εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καθά φησι Ποσειδώνιος ἐν τῷ ιζ Περὶ μετεώρων· ᾗ μείζονα τῆς γῆς, ὡς ὁ αὐτὸς ἐν τῷ ις τοῦ φυσικοῦ λόγου· ἀλλὰ καὶ σταυροειδῆ, (ὡς οἱ περὶ αὐτὸν τοῦτον φασὶν) ἀναλόγως τῷ κόσμῳ· πῦρ μὲν οὖν εἶναι, ὅτι τὰ πυρὸς πάντα πιεῖ· μείζω δὲ τῆς γῆς, τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι, διὰ τὸν οὐρανόν. ᾗ τὸ ἥλιον δὲ κωνοειδῆ σκιὰν ἀποτελεῖν, τὸ μείζονα εἶναι σημαίνει. παρίστησιν δὲ βλέπεσθαι, διὰ τὸ μέγεθος. κωνοειδέσθαι δὲ τὴν σελήνην, ἅτε καὶ πρόσγειον οὖσαν. ῥέφεσθαι δὲ ἐμπυρεύματα καὶ τὰ ἄλλα ἄστρα· τὸν μὲν ἥλιον, ὅτι

φησὶ δὲ πέντε εἶναι τὰ ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, ἀνηλιάκτους δέ. τὰ νέφη συνίστασθαι τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης, καὶ αἴρουσιν αὐτὰ εἰς τὸ περιέχον. οὐσίαν θεοῦ, σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ. ὅλον δ' ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μὴν πνεῖν. σύμπαντά τε εἶναι νοῦν, καὶ φρόνησιν, καὶ αἰσθητήριον. περῶτός τε ἀπεφήνατο ὅτι πᾶν τὸ γινόμενον, φθαρτόν ἐστι· καὶ ἡ ψυχή, πνεῦμα. ἔφη δὲ καὶ τὰ πολλὰ ἤδη νοῦν εἶναι· καὶ πῖς τυφλοῖς ἐντυχαίνειν ἢ ὡς ἤκουσα ἢ ὡς ἤδισα. Ἐμπεδοκλέους δὲ εἰπόντος αὐτῷ ὅτι ἀιθύρετός ἐστιν ὁ σοφὸς, Εἰκότως, ἔφη· σοφὸν γὰρ εἶναι δεῖ τὸν ὑπερκωσόμενον τὸν σοφόν. φησὶ δὲ Σωτίων περῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα, πλανώμενος. ἐπῖνσε δὲ καὶ Κολοφῶνος κτίσιν, καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμὸν, ἔτη δὶς χίλια. καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα. φησὶ δὲ Δημήτριος ὁ Φθηρεὺς ἐν τῷ περὶ γήρως, καὶ Παναίτιος ὁ Στωϊκὸς ἐν τῷ περὶ εὐθυμίας, ταῖς ἰδίαις χρῆσθαι φάναι τοὺς ἡλικιώτας αὐτὸν, καθάπερ καὶ Ἀναξαγόραν. δοκεῖ δὲ περιφῶναι τὸν Πυθαγορικὸν Παρμενίσκου καὶ Ὀρεσάδου, καθά φησι Φαβωρῖνος ἐν ἀπομνημονεύμασι περῶτῳ. γέγονε δὲ καὶ ἄλλος Ξενοφάνης, Λέσβιος ποιητὴς ἰάμβων. καὶ οὗτοι μὲν οἱ περὶ Ξενοφάνους. Ξενοφάνους δὲ ἤκουσε Παρμενίδης Πύρητος, Ἐλεάτης.

ΠΑΡΜΕΝΙΔΗΣ.

Τοῦτον Θεόφραστος ἐν τῇ ὀπτικῇ, Ἀναξιμανδρου φησὶν ἀκοῦσαι. ὅμως δ' οὐκ ἀκούσας καὶ Ξενοφάνους, οὐκ ἠκολούθησεν αὐτῷ. ἐκοινώνησε δὲ καὶ Ἀμεινίᾳ τῷ

Διοχάπη τῷ Πυθαγορικῷ, (ὡς ἔφη Σωτίων) αἰδρὶ πένη
τι μὲν, καλῷ δὲ καὶ ἀγαθῷ ὡς καὶ μᾶλλον ἠκλούθησε. καὶ ἀπο-
θανόντος ἡρῷον ἱδρύσατο. ἦν δέ τις ἐπαρχῶν λαμπρὸς
καὶ πλούσιος, ὑπὸ Ἀμεινίου, ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους
εἰς ἡσυχίαν ἀναιρεθείς. ἔφασκε δὲ εἶναι τὴν γῆν
ἀπηρίνην σφαῖραν, καὶ ἐν μέσῳ κεῖσθαι. δύο τε εἶ-
ναι στοιχεῖα, πῦρ, καὶ γῆν. καὶ τὸ μὲν, δημιουργικὸν τοῦ
ἔχειν· τὴν δὲ, ὕλης. γίνεσθαί τε ἀνθρώπους ἐκ ἡλίου
καὶ θερμὸν γεγενῆσθαι. αὐτὴν δὲ ἐπαίρειν τὸ θερμὸν καὶ τὸ
ψυχρὸν, ἐξ ὧν τὰ πάντα συνεστάναι. καὶ τὸν ψυχὸν, καὶ
τὸν νοῦν ζῷον εἶναι, καθά μεμνηται καὶ Θεόφραστος ἐν τοῖς
φυσικοῖς, πάντων σχεδὸν ἐκπεπλάνηται τὰ δόγματα. διαφέ-
ρειν τε ἔφη εἶναι φιλοσοφίαν τοῦ μὲν, κτῆσιν ἐπιστήμης· τοῦ δὲ, κτῆ-
σιν δόξης. διὸ καί φησί που,

--χρεὼν δέ σε πάντα πυθέσθαι
Ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ,
Ἠδὲ βροτῶν δόξας, τοῖς οὐκ ἔνι πίστις ἀληθής.

καὶ αὐτὸς δὲ δοκεῖ ποιητικῶς φιλοσοφεῖν, καθάπερ Ἡσίοδός
τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς. χρήσιμον δέ, τὸν
λόγον εἶπε· καί τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν.
φησὶ γοῦν,

Μή σε θεὸς πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω,
Νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν,
Καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον.

διὸ καὶ πρὸς αὐτὸν φησὶν ὁ Τίμων,

Παρμενίδου τε βίβλον μεγαλόφρονα, καὶ πολύδεγμον,
Ὅς ῥ' ὑπὲρ φαινομένης ἀπάτης αἰεὶ κατανώσας.

εἰς πάντα καὶ Πλάτωνα τὸν διάλογον γέγραφε, Παρμενί-
δην ὑπογράψας, ἢ Περὶ ἰδεῶν. ἤκμαζε δὲ κατὰ τὴν
θ καὶ εἰκοστὴν Ὀλυμπιάδα. καὶ δοκεῖ πρεσβύτης νε-
ωτέρῳ συγγεγενῆσθαι τὸν αὐτὸν τρόπον Ἕρμιππος καὶ Φωσφόρος, ὡς φη-
σὶ Φαβωρῖνος ἐν πέμπτῃ τῶν ἀπομνημονευμάτων· οἱ δὲ,

Πυθαγόραν. Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα· λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ περὶ φιλοσόφων. καὶ ποτὲ ἐρωτηθεὶς τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. γέγονε δὲ καὶ ἕτερος Παρμενίδης, ῥήτωρ τραγῳδοποιός.

ΜΕΛΙΣΣΟΣ.

Μέλισσος Ἰθαγενοῦς, Σάμιος. οὗτος ἤκουσε Παρμενίδου. ἀλλὰ καὶ εἰς λόγους ἦλθεν Ἡρακλείτῳ. ὅτε καὶ συνέγραψεν αὐτὸν τοῖς Ἐφεσίοις ἀγνοοῦσι, καθά φησιν Ἱππίας ὁ Θάσιος. Δημόκριτον Ἀβδηρίτας. γέγονε δὲ καὶ πολιτικὸς ἀνήρ, καὶ ἀποδοχῆς παρὰ τοῖς πολίταις ἠξιωμένος. ὅθεν ναύαρχος αἱρεθείς, ἔτι καὶ μᾶλλον ἐθαυμάσθη, διὰ τὴν οἰκείαν ἀρετήν. ἐδόκει δὲ αὐτῷ τὸ πᾶν ἄπειρον εἶναι, καὶ ἀίδιον, καὶ ἀκίνητον, καὶ ἐν ὅμοιον ἑαυτῷ, καὶ πλῆρες. κίνησιν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. ἀλλὰ καὶ περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι· μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν. φησὶ δ' Ἀπολλόδωρος ἡκμακέναι αὐτὸν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα.

ΖΗΝΩΝ ΕΛΕΑΤΗΣ.

Ζήνων, Ἐλεάτης. τοῦτον Ἀπολλόδωρος φησὶν εἶναι ἐν χρονικοῖς Πύρρωνος· τὸν δὲ Παρμενίδην, φύσει μέν, Τελβυταγόρου· θέσει δέ, Παρμενίδου. περὶ οὗπερ καὶ Μελίσσου Τίμων φησὶ ταῦτα,

Ἀμφοτερογλώσσου τε μέγα σθένος ἠδὲ διδασκὸν
Ζήνωνος Πλατωνεπιπλήκτορος ἠδὲ Μελίσσου,
Πολλῶν φαντασμῶν ἐπαΐων, παύρων γε μυθεῖσθαι.

ἐφ' οὗ Ζήνων διδάσκοι Παρμενίδου, καὶ γένοιτο αὐτοῦ παιδικά.

καὶ Δημόκης ἦν, καθά φησι Πλάτων ἐν τῷ Παρμενίδῃ. ὁ δ' αὐτὸς ἐν τῷ Σοφιστῇ καὶ Ἐλεατικὸν Παλαμήδειν αὐτὸν καλεῖ. φησὶ δὲ Ἀριστοτέλης εὑρετὴν αὐτὸν γενέσθαι διαλεκτικῆς, ὡς τὸν Ἐμπεδοκλέα ῥητορικῆς. γέγονε δὲ ἀνὴρ γενναιότατος καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν πολιτείᾳ. φέρεται δ' αὐτοῦ βιβλία πολλῆς σπουδῆς μέμπτα. καθελεῖν δὲ θελήσας Νέαρχον τὸν τύραννον (οἱ δέ, Διομέδοντα) συνελήφθη, καθά φησιν Ἡρακλείδης ἐν τῇ Σατύρου ἐπιτομῇ. ὅτε καὶ ἐξεταζόμενος τοὺς συνειδότας, καὶ περὶ τῶν ὅπλων ὧν ἤγαγε εἰς Λιπάραν, πάντας ἔφη αὐτοῦ τοὺς φίλους αὐτὰ ταῦτα συνιδέναι· βουλόμενος αὐτὴν ἔρημον καταστῆσαι. εἶτα δείξειν εἰπὼν ἔχειν τινὰ εἰπεῖν αὐτῷ πρὸς τὸ οὖς· καὶ δακὼν, ὡς ἀπῆκεν ἕως ἂν ἀπεκτάνθη, τὸν Λεοντείῳ τῷ τυραννοκτόνῳ παθών. Δημήτριος δέ φησιν ἐν τοῖς ὁμωνύμοις τὴν μυκτῆρα αὐτὸν ἀποτραγεῖν. Ἀντισθένης δ' ἐν ταῖς διαδοχαῖς φησὶ μετὰ τὸ μιῶσαι τοὺς φίλους, ἐρωτηθῆναι πρὸς τοῦ τυράννου, εἴ τις ἄλλος εἴη τὸν δὲ εἰπεῖν, Σὺ δ' ἡμῖν πόλεως ἀλιτήριος. πρός τε τοὺς παρεστῶτας φάναι, Θαυμάζω ὑμᾶς τὴν δειλίαν, εἰ τούτων ἕνεκεν ὧν νῦν ἐγὼ ὑποφέρω, δουλεύετε τῷ τυράννῳ· καὶ τέλος ἀποτραγόντα τὴν γλῶτταν πρόσπτυσαι αὐτῷ. τοὺς δὲ πολίτας παρορμηθέντας, αὐτίκα τὸν τύραννον καταλῦσαι. ταῦτα δὲ ἅπαντες οἱ πλείους λαλοῦσιν. Ἕρμιππος δέ φησιν, εἰς ὄλμον αὐτὸν βληθῆναι, καὶ κατακοπῆναι. καὶ εἰς αὐτὸν ἡμεῖς εἴπομεν οὕτως,

Ἤθελες ὦ Ζωΐων, καλὸν ἤθελες ἄνδρα τύραννον
Κτείνας, ὁπλοῦσαν δουλοσύνας Ἐλέαν.
Ἀλλ' ἐδάμης. δὴ γάρ σε λαβὼν ὁ τύραννος, ἐν ὄλμῳ
Κόψε. τί τοῦτο λέγω; σῶμα γάρ, οὐχὶ δέ σε.

γέγονε δὲ τά τε ἄλλα ἀγαθὸς ὁ Ζωΐων· ἀλλὰ καὶ ὑποφητικὸς τῶν μειζόνων, κατ' ἴσον Ἡρακλείτῳ. καὶ γάρ ἐπὶ τοῦ πρότερον μὲν Ὕλλου, ὕστερον δὲ Ἐλέαν, φωκαίων οὓς ἀποικίαν

κίαν, αὐτὴ δὲ παρείδα, πόλιν ἀπελῆ, καὶ μόνον ἄνδρας ἀγαθοὺς τρέφειν ὑπισχνέομαι, ἵνα πόσε μᾶλλον τῆς Ἀθηναίων μεγαλαυχίας· ὃν ὑπεδημήσας τὰ πολλὰ ὡς ἐς αὐτοὺς, ἀλλ' αὐτόθι καταβιοῖ. ἔστι καὶ τὸν Ἀχιλέα ὧδε τὸν λόγον ἠρώτησε· Φαβωρῖνος δέ φησι Παμφιλίδιον, καὶ ἄλλους συχνούς. ἀρέσκει ὑπ' αὐτῶ τάδε· κόσμος εἶναι κενόν τε μὴ εἶναι· γίγνεσθαι δὲ τὸν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν. γίνεσθαι τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχὴν κρῖμα ὑπάρχειν ἐκ τῶν ὡσπερημένων, κατὰ μηδενὸς τούτων ὑπερέχειν. τὸν φασὶ λοιδορούμενον ἀγανακτῆσαι· αἰσχυνομένου δέ τινος, φάναι, Εἰ λοιδορούμενος ὡς σπιῶμαι, οὐδὲ ἐπαινούμενος ἡσθήσομαι. ὅπ δὲ γεγόνασι Ζωονίες ὀκτὼ, ἐν τῇ Κιτιείδι διειλέγμεθα. ἤκμαζε δὲ ἔστι κατὰ τὴν ἑβδομηκοστὴν Ὀλυμπάδα.

ΛΕΥΚΙΠΠΟΣ.

Λεύκιππος, Ἐλεάτης· οἱ δέ τινες, Ἀβδηρίτης· κατ' ἐνίους δ', Μήλιος. ἔστι ἤκουσε Ζήνωνος. ἤρεσκε δ' αὐτῷ, ἄπειρα εἶναι τὰ παντα, καὶ εἰς ἄλληλα μεταβάλλειν. τὸ τε παν εἶναι κενόν, καὶ πλῆρες σωμάτων. τοὺς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων, καὶ ἀλλήλοις συμπλεκομένων· ἔκ τε τῆς πυκνώσεως, καὶ τὴν αὔξησιν αὐτῶν, γίνεσθαι τὴν τῶν ὑπερέρων φύσιν. φέρεσθαι δὲ καὶ ἥλιον ἐν μείζονι κύκλῳ περὶ τὴν σελήνην. τὴν γῆν ὀχεῖσθαι, περὶ τὸ μέσον δινουμένην. σχῆμά τε αὐτῆς τυμπανοειδὲς εἶναι. περῶτός τε ἀτόμους ἀρχὰς ὑποστήσασθαι· κεφάλαιον δὲ τῶν λόγων τούτων. ὅτι μέρος ὑπόν ἐστι τὸ μὴ ὄν, ἄπειρόν φησιν, ὡς περιέχοντα, τοῦτο δ' εἶναι τὸ μὴ, πλῆρες εἶναι τὸ ὄν, κενόν. καὶ στοιχεῖα φησὶ, κόσμους τε ἐκ τούτων ἀ-

πίους εἶ), καὶ διαλύεσθαι εἰς ταῦτα. γίνεσθαι δὲ πὰς κόσμους οὕτω· φέρεσθαι κατ' ἀποπωλὼ ἀπ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν· ἄθρ ἀθροισθέντα δίνην ἀφ' ἑαυτῶν ἀπεργάζεσθαι μίαν, καθ' ἣν φερόμενα καὶ παντοδαπῶς κυκλούμενα, διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων φερφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενόν, ὡς φησι διαπομπία· τὰ δὲ λοιπὰ, συμμένειν, καὶ περιπλεκόμενα συγκατατρέχειν ἄλληλα, καὶ ποιεῖν τινα πρῶτον σύστημα σφαιροειδές. τοῦτο δὲ οἷον ὑμένα ἀφίσασθαι, περιέχοντα ἐν ἑαυτῷ παντοῖα σώματα· ὧν κατὰ πλῆθος μὲν ἀπείρων ἀπιόντων, λεπτὸν γίνεσθαι τὸν περιέχοντα, οἷον ὑμένα, συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ὀπίφασιν τῆς δίνης. καὶ οὕτω γῆν μὲν γενέσθαι πλῷ χλῷ, συμμενόντων τῶν ἐνεχθέντων διὰ τὸ μέσον. αὐτόν τε πάλιν τὸν περιέχοντα, οἷον ὑμένα, αὔξεσθαι κατὰ πλῆθος ἐπίκρισιν τῶν ἔξωθεν σωμάτων· δίνῃ τε φερόμενον αὐτὸν ὧν ἂν ὀπιφαύσῃ, ταῦτα ὀπισπᾶσθαι. τούτων δὲ ἕνια συμπλεκόμενα ποιεῖν σύστημα· τὸ μὲν πρῶτον, καθυγρὸν καὶ πηλώδες, ξηρανθέντα καὶ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ· εἶτ' ἐκπυρωθέντα, πλῷ τῶν ἀστέρων ἀποτελέσαι φύσιν. εἶ) δὲ τὸν τοῦ ἡλίου κύκλον, ἐσχατον· τὸν δὲ τῆς σελήνης, πρὸς ἐγγύτατον, τοὺς δὲ τῶν ἄλλων, μεταξὺ τούτων. καὶ πάντα μὲν τὰ ἄστρα διὰ τὸ πάχος τῆς φορᾶς, τὸν δὲ ἥλιον ὑπὸ τῶν ἀστέρων ἐκπυροῦσθαι. πλῷ δὲ σελήνῃ, τὸ πυρὸς ὀλίγον μεταλαμβάνειν. ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην, τῷ κυκλοῦσθαι πλῷ γῇ πρὸς μεσημβρίαν· τὰ δὲ πρὸς ἄρκτον ἀεί τε νίφεσθαι, καὶ καταψύχεσθαι εἶ), καὶ πήγνυσθαι. καὶ τὸν μὲν ἥλιον ἐκλείπειν σπανίως, πλῷ ἢ σελήνῃ, συνεχῶς· διὰ τὸ αἴσιος εἶ) τοὺς κύκλους αὐτῶν. εἶναί τε, ὡς φησι γῆ ἔσεις κόσμου, οὕτω καὶ αὐξήσεις, καὶ

φθίσεις, καὶ φθορὰς, κατά τινα ἀνάγκην, ἣν ὁποία ὄντιν οὐ διαφεύγει.

ΔΗΜΟΚΡΙΤΟΣ.

Δημόκριτος, Ἡγησιστράτου· οἱ δὲ, Ἀθηνοκρίτου· τινὲς, Δαμασίππου· Ἀβδηρίτης, ἢ (ὡς ἔνιοι) Μιλήσιος. οὗτος μάγον τινὰ διήκουσε, καὶ Χαλδαίων, Ξέρξου τοῦ βασιλέως ὀπισάπας τῷ πατρὶ αὐτοῦ καταλιπόντος, ὡίνα ξενίαθη παρ' αὐτοῦ, (καθά φησι καὶ Ἡρόδοτος) παρ' ὧν τὰ περὶ θεολογίας καὶ ἀστρολογίας ἐμαθεν, ἔτι παῖς ὤν. ὕστερον δὲ Λευκίππῳ παρέβαλε, καὶ Ἀναξαγόρᾳ, (κατά τινας) ἔτεσιν ὢν αὐτοῦ νεώτερος πεντηκοντα. Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου, ὡς μὴ εἴησαν αὐτοῦ αἱ δόξαι αἱ περὶ ἡλίου καὶ σελήνης, ἀλλὰ ἀρχαῖαι. τὸν δὲ ὑφηρῆσθαι, διαφέρειν τι αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρὸς ἔχοντα περὶ αὐτὸν, ὅπου δὴ μὴ περιήκατο αὐτόν. πῶς οὖν (κατά τινας) ἀκήκοεν αὐτοῦ; φησὶ δὲ Δημήτριος ἐν ὁμωνύμοις, καὶ Ἀντισθένης ἐν διαδοχαῖς, ἀποδημῆσαι αὐτὸν καὶ εἰς Αἴγυπτον, πρὸς τοὺς ἱερέας, γεωμετρίαν μαθησόμενον, καὶ πρὸς Χαλδαίους εἰς τὴν Περσίδα, καὶ εἰς τὴν ἐρυθρὰν θάλασσαν γεγενῆσθαι. τοῖς τε γυμνοσοφισταῖς φασί τινες συμμίξαι αὐτὸν ἐν Ἰνδίᾳ, καὶ εἰς Αἰθιοπίαν ἐλθεῖν. πείσαντα τε ὅτα ἀδελφὸν, νεῖμαι τὴν οὐσίαν. καὶ οἱ μὲν πλείους φασὶ τὴν ἐλάττω μοῖραν ἑλέσθαι, ἵν' ἀνθρωπεύῃ, χρείαν ἔχοιεν κατ' ἀποδημίαν, ὅτε καὶ κείνων ὅλων ἐπιδεήσαντων. ὁ δὲ Δημήτριος ἐπὶ ἑκατὸν πάλαι φησὶν ἔτεσι αὐτὴν τὸ μέρος, ἅπαντα δὲ καταναλῶσαι. λέγει δὲ ὅτι τοσοῦτον ἦν φιλόπονος, ὥστε τὸ οἰκήματι δωμάτιόν τι ἀποτμῆμα, καὶ ἀπόκλειστος ἦν· καί ποτε τὸ παῖδες αὐτοῦ πρὸς θυσίαν βοῦν ἀγαγόντος, καὶ

αὐτὰ πεσεδήσαντες, ἱκανὸν χρόνον μὴ γνῶναι, ἕως αὐτὸ διατήσας πεδαίσε τῆς ὄψεως, καὶ τὰ πρὸ τὸν βοῶν δίηγήσατο. δοκεῖ δέ (φησὶ) καὶ Ἀθήναζε ἐλθεῖν, καὶ μὴ συνιέναι γνωσθῶσι, δόξης καταφρονῶν· καὶ εἰδέναι μὲν Σωκράτην, ἀγνοεῖσθαι δ' ὑπ' αὐτοῦ. Ἦλθον γὰρ (φησὶν) εἰς Ἀθήνας, καὶ οὔπω με ἔγνωκεν. Εἴπερ οἱ αἱρεσιάρχαι Πλάτωνος εἰσὶ, (φησὶ Θεόφυλος) δοῦ ἂν εἴη ὁ παραγινόμενος αἰώνυμος; τὴν πρὸς Οἰνοπίδην καὶ Ἀναξαγόραν ἕτερος, ἐν τῇ πρὸς Σωκράτην ὁμιλίᾳ διαλεγόμενος περὶ φιλοσοφίας ὡ φησὶν) ὁ φιλόσοφος ὡς πεπαθὼς ἔοικε. καὶ ἦν ὡς ἀληθῶς ἐν φιλοσοφίᾳ πεπαθώς. τὰ γὰρ φυσικὰ, καὶ τὰ ἠθικὰ, ἀλλὰ καὶ τὰ μαθηματικὰ, καὶ τοὺς ἐγκυκλίους λόγους, καὶ πρὸς πάντων πᾶσαν εἶχεν ἐμπειρίαν. τύπου δ' ὅτι καὶ τὸ, Λόγος ἔργου σκιά. Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τῇ Σωκράτους ἀπολογίᾳ, μηδὲ ἐλθεῖν φησὶν αὐτὸν εἰς Ἀθήνας. πῶς γὰρ καὶ μεῖζον, εἰ γε τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ὀκνῶν τύπου δόξαν λαβεῖν βουλόμενος, ἀλλὰ πρᾶγμα δόξαν πρὸς θεῖναι πρόθυμος. δῆλον γὰρ καὶ τῶν συγγραμμάτων, οἷος ἦν. δοκεῖ δέ (φησὶν ὁ Θεόφυλλος) ζηλωτὴς γεγονέναι καὶ τῶν Πυθαγορείων. ἀλλὰ καὶ αὐτὸς τοῦ Πυθαγόρου μεμνῆσθαι, θαυμάζων αὐτὸν ἐν τῷ ὁμωνύμῳ συγγράμματι. ταῦτα γὰρ δοκεῖν πρὸς τύπου λαβεῖν, καὶ αὐτὸς δ' ἂν ἀκηκοέναι, εἰ μὴ τὰ τῶν χρόνων ἐμάχετο. πάντως μέντοι τῶν Πυθαγορείων τινὰς ἀκοῦσαι φησὶν αὐτὸν Γλαῦκος ὁ Ῥηγῖνος, καὶ τοῖς αὐτοῖς χρόνοις αὐτῷ γεγονώς. φησὶ δὲ καὶ Ἀπολλόδωρος ὁ Κυζικηνὸς, Φιλολάῳ αὐτὸν συγγεγονέναι. ἦκται δὲ (φησὶν ὁ Ἀντισθένης) καὶ ποικίλως δοκιμάζειν τὰς φαντασίας, ἐρωτῶν ἐνίοτε, καὶ τοῖς παροῦσι διαλεγόμενος. ἐλθόντα δέ φησιν αὐτὸν ἐκ τῆς ἀποδημίας, ἅπερ πινόμενα διάγειν, ἅπασαν τὴν οὐσίαν καταναλωκότα· τρέφεσθαί τε διὰ τὴν ἀπορίαν ὑπὸ τοῦ ἀδελφοῦ Δαμάσου. ὡς δὲ πεθέπων ἔνια τῶν μελλόντων ἀνθρώ-

μησε, λοιπὸν ἐν θέου δίξης τοῖς πλείοσι ἠξιώθη, νόμου δὲ ὄντος τὸν αὐαλώσαντα τὴν πατρῴαν οὐσίαν, μὴ ἀξιοῦσθαι ταφῆς ἐν τῇ πατρίδι, φησὶν ὁ Ἀνταθένης σωτέντα, μὴ ἐνθυθυνος γλυκθεὶς τοὺς ἰνων φθονούντων καὶ συκοφαντούντων, αἰαγνῶναι αὐτῆς τὸν μέγαν Διάκοσμον, ὃς ἁπάντων τῶν αὐτοῦ συγγραμμάτων τριακοσίοις ταλάντοις ὑμνεῖται. μὴ μόνον δὲ, ἀλλὰ καὶ χαλκοῦς εἰκόσι. καὶ πλουτήσαντα αὐτὸν, δημοσίᾳ ταφῆναι βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη. ὁ δὲ Δημήτριος τοὺς συγγενεῖς αὐτοῦ φησὶν αἰαγνῶναι τὸ μέγαν Διάκοσμον, ὃν μόνον ἑκατὸν ταλάντων ὑμνεῖται. ταῦτα δὲ καὶ Ἱππόβοτος φησίν. Ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασι φησὶ Πλάτωνα θελῆσαι συμφλέξαι τὰ Δημοκρίτου συγγράμματα, ὁπόσα ἠδυνήθη συναγαγεῖν· Ἀμύκλαν δὲ καὶ Κλεινίαν τοὺς Πυθαγορικοὺς κωλῦσαι αὐτὸν, ὡς οὐδὲν ὄφελος· τοσοῦτο γε εἰς τὰ βιβλία ἦν. καὶ δῆλον δὲ πάντων γε σχεδὸν τῶν ἀρχαίων μεμνημένος ὁ Πλάτων, οὐδαμοῦ Δημοκρίτου διαμνημονεύει, ἀλλ' οὐδὲ ἔνθα ἀντειπεῖν τι αὐτῷ δέοι δῆλον εἰδὼς ὡς τοὺς τὰ ἄριστον οὕτω τῶν φιλοσόφων ἔσοιτο, ὃν γε καὶ Τίμων τῶν ἐπαινέσας τὸν τρόπον ἔχει,

Οἷον Δημόκριτόν τε τορέφρονα, ποικίλα μύθων,
Ἀμφίνοον λέσχην, ἃ μὴ τορὸς ἦεν ἀείων.

γέγονε δὲ τοῖς χρόνοις (ὡς αὐτὸς φησιν ἐν τῷ μικρῷ Διακόσμῳ) νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος πεντηκοντα. συντετάχθαι δὲ φησι τὸν μικρὸν Διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως ἑκατὸν καὶ ἑπτακοσίοις. γεγόνοι δ' ἂν (ὡς μὲν Ἀπολλόδωρος ἐν χρονικοῖς) κατὰ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα· ὡς δὲ Θεόφυλλος ἐν τῷ ὑπογραφομένῳ Περὶ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων, κατὰ τὸ τέταρτον ἔτος τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἐν ᾧ αὐτὸς (φησὶ) πρεσβύτερος ὢν

Σωκράτης. εἶπε δ' οὖν καὶ Ἀρχέλαον τὸν Ἀναξαγόρου μαθητὴν, καὶ τοὺς περὶ Οἰνοπίδην. καὶ γὰρ τούτου μέμνηται. μέμνηται δὲ καὶ περὶ τῆς τοῦ ἑνὸς δίξης τῶν περὶ Παρμενίδην καὶ Ζήνωνα, ὡς κατ' αὐτὴν μάλιστα δι' βεβοημένων· καὶ Πρωταγόρα τοῦ Ἀβδηρίτου, ὃς ὁμολογεῖται τῷ Σωκράτει γεγονέναι. φησὶ δ' Ἀθηνόδωρος ὁ περιπατητικὸς, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτὸν, κελεῦσαι κομιδῇ γάλα· καὶ θεασάμενον τὸ γάλα, εἰπεῖν, ὦ αἰγὸς περιπατικοῦ καὶ μιλησίας. ὅθεν τῇ ἀκριβείᾳ αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω, Χαῖρε κόρη· τῇ δὲ ἑξῆς, Χαῖρε γύναι. καὶ ἰδὼν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. πελευτήσαι δ' τὸν Δημόκριτον φησὶν Ἕρμιππος πεπειρᾶσθαι τοῦ ζῆν· ἤδη γὰρ γηρῶντα, πρὸς τῷ καταφρονεῖν εἶναι. τῇ οὖν ἀδελφῇ λυπεῖσθαι ὅτι ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ μέλλοι πεπαύξεσθαι, καὶ τῇ θεῷ τὸ καθῆκον αὐτῇ οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν, καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἅρτους θερμοὺς ἐπὶ μέρας. τούτοις δὴ ταῖς ἐπιπροσφορᾶς, διεκράτησεν αὐτὸν τῆς ἑορτῆς. ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι, (τρεῖς δ' ἦσαν) ἀλυπότατα τὸν βίον προήκατο, (ὡς φησιν Ἵππαρχος) ἐντεῦθεν πρὸς τοῖς ἑκατὸν ἔτη βιούς. ἡμεῖς τε εἰς αὐτὸν ἐν τῷ παμμέτρῳ τοῦτον ἐποιήσαμεν τὸν ζῆλον,

Καί τις ἔφυ σοφὸς ὧδε, πάς ἔργον ἔρεξε τοσοῦτον,
Ὅσσον ὁ παιζομένης μιμήσατο Δημόκριτος;
Ὃς θᾶττον παρεόντα περὶ ἤματα δώμασιν ἔσχε,
Καὶ θερμοῖς ἄρτων ἄθμασιν ἐξένισε.

Τοιοῦτος μὲν ὁ βίος αὐτοῦ. δοκεῖ δ' αὐτῷ τάδε· Ἀρχὰς εἶναι τῶν ὅλων ἀτόμους, καὶ κενόν· τὰ δὲ ἄλλα πάντα νενομίσθαι δοξάζεσθαι. ἀπείρους τε εἶναι κόσμους, καὶ γλυπτούς, καὶ φθαρτούς. μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους δ' ἀπείρους εἶναι καὶ μέ-

γθος καὶ πλῆθος· φέρεσθαι δ' ἐν τῷ ὅλῳ δινουμένας. καὶ οὕτω πάντα τὰ συγκρίματα γίνεσθαι, πῦρ, ὕδωρ, ἀέρα, γῆν. εἶναι δὲ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συνήματα· ἀόρατα εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα. τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων δίνων καὶ φερομένων ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως, ἣν καὶ νοῦν, ταυτὸν εἶναι). ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις. πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει. τέλος δὲ εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, (ὡς ἔνιοι φιλοσοφοῦσαντες ἐξηγήσαντο) ἀλλὰ καθ' ἣν γαληνῶς καὶ ἐμπαθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου, ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους· καλεῖ δ' αὐτὴν καὶ εὐεστώ, καὶ πολλοῖς ἄλλοις ὀνόμασι. πίνακα δὲ γράμμα εἶναι· φύσεις δὲ ἄτομα καὶ κενόν. καὶ ταῦτα μὲν ἀπεφήνατο. τὰ δὲ βιβλία αὐτοῦ καὶ Θρασύλλος ἀναγέγραφε κατὰ τάξιν οὕτως, ὡς φησὶ καὶ ὁ Πλάτωνιος, κατ' ἐπιγραφήν.

Ἔστι δὲ ἠθικὰ μὲν, τὰ δὲ· Πυθαγόρης, Περὶ τῆς τοῦ βίου διαθέσεως, Περὶ τοῦ ἐν ᾅδου, Τερπαγωγία, (τοῦτο δέ ἐστιν, ὅπου τέλος γίνεται ἐκ αὐτῆς, ἃ πάντα τὰ ἀνθρώπινα σωτέχει) Περὶ ἀνθρωποφανίης, ἢ Περὶ ἀρετῆς, Ἀμαλθείας κέρας, Περὶ εὐθυμίης, Γραμμάτων ἢ οἴκων. ἐν δὲ Λεσβῷ οὐχ εὑρίσκεται). καὶ ταῦτα μὲν τὰ ἠθικά. φυσικὰ δὲ, τὰ δὲ· Μέγας Διάκοσμος, ὃν οἱ περὶ Θεόφραστον, Λευκίππου φασὶν εἶναι· Μικρὸς Διάκοσμος, Κοσμογραφίη, Περὶ τῶν πλανήτων, Περὶ φύσεως οὐρανοῦ, Περὶ ἀνθρώπου φύσεως, ἢ Περὶ σαρκὸς, α· Περὶ νοῦ, Περὶ αἰσθήσεων. ταῦτα δὲ ἔνιοι ὁμοῦ γράφουσι, Περὶ ψυχῆς διαφορῶν, Περὶ χυμῶν, Περὶ χροῶν, Περὶ τῶν διαφερόντων ῥυσμῶν, Περὶ ἀμειψιῤῥυσμιῶν, Κεφαλαιωτικὰ, ὅπερ ἔστιν ὀπτικὰ τῶν περιμμένων, Περὶ εἰδώλου, ἢ Περὶ φαντασίας, Περὶ λοιμῶν καινῶν, α, β, γ· Ἀπορήματα. ταῦτα μὲν περὶ φύσεως. τὰ δὲ

ἀσώματα τα, ἔστι δὲ Δίπλαι οἰκεῖαι, Δίπλαι ἀόριστοι, Δίπλαι ὁμοιομερεῖς, Δίπλαι περὶ πυρὸς καὶ τῶν ἐν πυρί, Δίπλαι περὶ φωνῆς, Δίπλαι περὶ σπερμάτων, καὶ φυτῶν καὶ καρπῶν· Δίπλαι περὶ ζώων, γ· Δίπλαι σύμμικτοι, Περὶ τῆς λίθου. Ταῦτα καὶ τὰ ἀσώματα τα. μαθηματικὰ δὲ τάδε· Περὶ διαφορᾶς γραμμῆς, ἢ Περὶ φαύσεως κύκλου καὶ σφαίρας, Περὶ γεωμετρίας, Γεωμετρικόν, Ἀριθμοί, Περὶ ἀλόγων γραμμῶν καὶ τριῶν, β· Ἐκπώματα, Μέγας ἐνιαυτός, ἢ ἀστρονομία, Παράπηγμα, Ἄμμα κλεψύδρας, Οὐρανογραφία, Γεωγραφία, Πολυγραφία, Ἀκτινογραφία. Τοσαῦτα καὶ τὰ μαθηματικά. μουσικὰ δὲ τάδε· Περὶ ῥυθμῶν καὶ ἁρμονίης, Περὶ ποιήσεως, Περὶ καλλοσύνης ἐπέων, Περὶ ἀφώνων καὶ δισφώνων φθογγμάτων, Περὶ Ὁμήρου, ἢ ὀρθοεπίης, καὶ γλώσσεων, Περὶ ἀοιδῆς, Περὶ ῥημάτων Ὀνομαστικόν. Τοσαῦτα καὶ τὰ μουσικά. τεχνικὰ δὲ τάδε; Προγνώσης, Περὶ διαίτης, ἢ Διαιτητικόν, ἢ ἰατρικὴ γνώμη, Δίπλαι περὶ ἀκμαίων καὶ ὀπτικαίων, Περὶ χωρίης, ἢ Γεωμετρικόν, Περὶ ζωγραφίης, Τακτικόν, καὶ Ὁπλομαχικόν. Τοσαῦτα καὶ τάδε. τὰ δ' ἴσοι δέ τινες κατ' ἰδίαν ἐκ τῶν ἐπιγραφῶν, καὶ ταῦτα, τὸ Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων, Περὶ τῶν ἐν Μερόη ἱερῶν γραμμάτων, Περὶ ἱστορίης, Χαλδαϊκὸς λόγος, Φρύγιος λόγος, Περὶ πυρετῶν, καὶ τῶν ἀπὸ νόσου βηχόντων, Νομικὰ αἴτια, Χερνικά, ἢ Προβλήματα. Τὰ δ' ἄλλα ὅσα τινὲς ἀναφέρουσιν εἰς αὐτὸν, τὰ μὲν οὐκ ἔστιν αὐτοῦ διεσκεύασαι, τὰ δ' ὁμολογουμένως ὄντα ἀλήθεια. Ταῦτα καὶ περὶ τῶν βιβλίων αὐτοῦ καὶ Τοσαῦτα. γέγονασι δὲ Δημόκριτοι, ἕξ· πρῶτος, αὐτὸς οὗτος· δεύτερος, Χῖος μουσικός, ἐπὶ τὸν αὐτὸν χρόνον· τρίτος, ἀνδριαντοποιός, οὗ μέμνηται Ἀντίγονος· τέταρτος, περὶ τὸ ἱερὸν τὸ ἐν Ἐφέσῳ γεγραφώς, καὶ τῆς πόλεως Σαμοθράκης· πέμπτος, ποιητὴς ὀπτάμετρος σαφὴς καὶ αἰθηρός· ἕκτος, Περγαμηνὸς, ἀπορητικῶν λόγων.

ΠΡΩΤΑΓΟΡΑΣ.

Πρωταγόρας Ἀρτέμωνος, ἢ (ὡς Ἀπολλόδωρος καὶ Δίων ἐν Περσικοῖς) Μαιανδρίου, Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς περὶ νόμων· (ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν) ὡς δ' Εὔπολις ἐν κόλαξι, Τήϊος. φησὶ γάρ,

Ἐνδοθὶ μὲν ὅτι Πρωταγόρας ὁ Τήϊος. ἔστι καὶ Πρόδικος ὁ Κεῖος λόγους ἀναγινώσκοντες ἠκροῶντο· ὧν Πλάτων ἐν τῷ Πρωταγόρᾳ φησὶ βαρύφωνον εἶναι τὸν Πρόδικον. διήκουσε δὲ ὁ Πρωταγόρας Δημοκρίτου. ἐκαλεῖτό τε Σοφία, ὡς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. περὶ θεῶν ἔφη δύο λόγους εἶναι περὶ πάντων πραγμάτων ἀντικειμένους ἀλλήλοις. οἷς καὶ σωκρατικὸν, περὶ θεῶν εἰσαγαγών. ἀλλὰ καὶ ἤρξατό που τῶν τοιῶνδε· Πάντων χρημάτων μέτρον, ἄνθρωπος· τῶν μὲν ὄντων, ὡς ἔστι· τῶν δὲ οὐκ ὄντων, ὡς οὐκ ἔστιν. ἔλεγέ τε μηδὲν εἶναι ὃ μὴ πάσχει τις αἰσθήσεως (καθά καὶ Πλάτων φησὶν ἐν Θεαιτήτῳ) καὶ πάντα εἶναι ἀληθῆ. καὶ ἀλλαχοῦ δέ που ἤρξατο τοιῶνδε, Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι, εἴθ' ὡς εἰσὶν, εἴθ' ὡς οὐκ εἰσίν. πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τε ἀδηλότης, καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου. διὰ ταύτην δὲ τὴν ἀρχὴν τὰ συγγράμματα ἐκυβλήθη τοῖς Ἀθηναίων· καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ, κῆρυκα αἱρεθέντες ἄμισθον παρ' ἑκάστου τῶν κεκτημένων. ἔστι δὲ τοῦτος μαθὼν ἐτῶν ἑξήκοντα μναῖ ἑκατόν· καὶ τοῦτο μέρη χρόνου διώρισε, καὶ καιροῦ δύναμιν ἔγνω πρῶτος, καὶ λόγων ἀγωνίας ἐθεάσατο, καὶ σόφισμα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διαλογικὴν ἀφεὶς, πρὸς τοὔψωμα διῆλθεν, καὶ τὸ τῶν ὁπλιτῶν γένος τὸ ἐριστικὸν ἐξεύρεν. ἵνα καὶ Τίμων φησὶ περὶ αὐτοῦ,

Πρωταγόρης τ' ὀπίμακτος ἐλεγξίμυθά τ' ἐίδώς.

ἔστι καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐξεῦρε, καὶ τὸν Ἀντιφῶντος λόγον τὸν πειρώμενον ἀποδεῖ-

κύειν, ὡς ὅτι ἔστιν ἀπλέγκτον, ἢ ὅτι οὐδὲ ὅλως διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμῳ. καὶ ὅλως κατέδραξε τὰς ὅλας τὰς ἕξεις ὁπτικῶς, ὡς φησιν Ἀρτεμίδωρος ὁ διαλεκτικὸς ἐν τῷ πρὸς Χρύσιππον. καὶ ὅλως τὸν καλούμενον τύλον, ἐφ' οἷς τὰ στρώματα βασάζουσιν, εὗρεν, ὡς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ παιδείας. σωματοφόρος γὰρ ὢν, ὡς καί Ἐπικούρειός που φησί. καὶ τὸν τύπον ἤρθη πρὸς Δημόκριτον, ξύλα δεδωκὼς ὀφθείς.

διείλε τε τὸν λόγον ὅλως εἰς τέτταρα, ἀγχωλὴν, ἐρώτησιν, ἀπόκρισιν, ἐπαλλήν. οἱ δὲ, εἰς ἑπτά, διηγήσιν, ἐρώτησιν, ἀπόκρισιν, ἐπαλλὴν, ἀπαγγελίαν, ἀγχωλὴν, κλῆσιν, οἷς καὶ πυθμένας εἶπε λόγων. Ἀλκιδάμας δὲ τέτταρας λόγους φησὶ, φάσιν, ἀπόφασιν, ἐρώτησιν, ὑποστροφήν.

ὅλον δὲ τὸν λόγον ἑαυτῷ αἴρεσιν τὸν πρὸς θεῶν, οὗ καὶ ἀρχὴν ἄνω παρεθέμεθα. αἴρεσιν δὲ Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ, ἢ (ὡς τινες) ἐν τῇ Μεγακλείδου· ἄλλοι, ἐν Λυκείῳ, μαθητὴν τοῦ φωνικοῦ αὐτοῦ χρήσαντος Ἀρχαγόρᾳ τῷ Θεοδότου. κατηγόρησε δὲ αὐτοῦ Γυθοδώρος Γολυζήλου, εἷς τῶν τετρακοσίων. Ἀριστοτέλης δὲ Εὔαθλον φησίν. ἔστι δὲ τὰ σωζόμενα αὐτοῦ βιβλία τάδε· Τέχνη ἐστὶ κατὰ, Περὶ πάλης, Περὶ τῶν μαθημάτων, Περὶ πολιτείας, Περὶ φιλοπμίας, Περὶ ἀρετῶν, Περὶ τῆς ἐν ἀρχῇ καταστάσεως, Περὶ τῶν ἐν ᾅδου, Περὶ τοῦ ὑπ' ὀρθῶς ζῆς ἀνθρώπου θεραπευομένων, Προτρεπτικὸς, Δίκη ἢ περὶ μισθοῦ, Ἀντιλογιῶν δύο. καὶ ταῦτα μὲν αὐτοῦ τὰ βιβλία. γέγραφε δὲ καὶ Πλάτων εἰς αὐτὸν διάλογον. φησὶ δὲ Φιλόχορος, πλεύσαντα αὐτὸν εἰς Σικελίαν, τὸν νεὼν καταπυθέσθαι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι. ἔνιοι δὲ ὁδὸν πεπλευκέναι αὐτὸν, βιώσαντα ἔτη ὡς τὰ ἑπτακαίδεκα. Ἀπολλόδωρος δέ φησι σοφιστεύσαι αὐτὸν πεντηκοντούτη ἔτη, καὶ ἀκμάζειν κατὰ τὴν πεντηκοστὴν καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. ἔστι δὲ εἰς τοῦτον ἡμῖν οὕτως ἔχειν,

Καί σε Πρωταγόρη φάζιν ἔκλυον, ὡς ἄρ' Ἀθηνῶν
Ἔκ πυ' ἰὼν, καθ' ὁδὸν, πρέσβις ἐὼν, ἔθανες.
Εἵλετο γάρ σε φυγεῖν Κέκροπος πόλις· ἀλλὰ σὺ μᾶλλον
Πληιάδος ἄσυ φύγες, Πλαπία δ' ὑπ' ἔφυγες.

λέγεται δέ ποτε αὐτὸν ἀπαγαγεῖν τὴν μισθὸν Εὐαθλον τὸν μαθητὴν, ἐκείνου εἰπόντος, Ἀλλ' οὐδέ πω νενίκηκα, εἰπεῖν, Ἀλλ' ἐγὼ μὲν ἂν νικήσω, ὅπερ ἐγὼ ἐνίκησα, λαβεῖν με δεῖ· ἐὰν δὲ σὺ, ὅπερ σύ. γέγονε δὲ καὶ ἄλλος Πρωταγόρας, ἀστρολόγος, εἰς ὃν καὶ Εὐφορίων ὁ Χαλκιδεὺς ἔγραψε· καὶ τρίτος, Στωϊκὸς φιλόσοφος.

ΔΙΟΓΕΝΗΣ Ο ΑΠΟΛΛΩΝΙΑΤΗΣ.

Διογένης, Ἀπολλοδήμου, Ἀπολλωνιάτης, αἰρέσεως καὶ αὐτὸς καὶ ἄλλων ἐλλόγιμος. ἤκουσε δὲ (φησὶν Ἀντισθένης) Ἀναξιμένους. ἔζη δὲ ἐν τοῖς χρόνοις τοῖς Ἀναξαγόρου. τοῦτόν φησιν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ, διὰ μέγαν φθόνον μικροῦ κινδυνεῦσαι Ἀθήνησιν. ἐδόκει δὲ αὐτῷ τάδε· Στοιχεῖον εἶναι τὸν ἀέρα, κόσμους ἀπείρους, καὶ κενὸν ἄπειρον· τόν τε ἀέρα, πυκνούμενον καὶ ἀραιούμενον, γίνεσθαι τοὺς κόσμους· οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, οὐδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι· τὸν γῆν, στρογγύλην, ἠρηρεισμένην ἐν τῷ μέσῳ, τὸν σύστασιν εἰληφέναι κατὰ τὸν ἐκ τοῦ θερμοῦ συνεφοράν, καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ. ἀρχὰς δὲ αὐτῷ τοῦ συγκρίματος, ἥδε, Λόγου παντὸς ἀρχόμενον, δοκεῖ μοι χρεὼν εἶναι τὸν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι· τὸν δὲ ἑρμηνείαν, ἁπλῶν καὶ σεμνήν.

ΑΝΑΞΑΡΧΟΣ.

Ἀνάξαρχος, Αὐδημείτης. οὗτος δὲ ἤκουσε Διοκλέους τοῦ Σμυρναίου· οἱ δὲ, Μητροδώρου τοῦ Χίου, ὃς ἔλεγε μηδὲ

αὐτὸ τοῦτο εἰδέναι ὅτι οὐδὲν οἶδε. Μητρόδωρος δέ, Ναυσιφάνους τοῦ Χίου οἱ ἢ Δημοκρίτου φασὶν ἀκοῦσαι. ὁ δ' οὖν Ἀναξαρχος καὶ Ἀλεξικράτους ἀπολυθῆναι, καὶ ἤκμαζε κατὰ τὴν δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα. καὶ εἶχεν ἐχθρὸν Νικοκρέοντα τὸν Κύπρου τύραννον· καί ποτε ἐν συμποσίῳ τοῦ Ἀλεξάνδρου ἐρομένου αὐτὸν, τί ὄντα δικαίως τὸν δεῖπνον εἰπεῖν φαίη. Ὦ βασιλεῦ, πάντα πλουσίως· ἓν δὲ λείπει κεφαλὴν σατράπου ἢ τύραννος φαγεῖν. ἀπερρίφη οὖν εἰς τὸν Νικοκρέοντα. ὁ δὲ μισήσας, μὴ τὴν παλαιὰν ἔχθραν τὴν βασιλέως, ὅτε πλέων ἀκουσίως ἐσεληλύθει τῇ Κύπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον βαλὼν, ἐπέλευσε σιδηροῖς ὑφύσι τύπτεσθαι. τὸν δ', οὐ φροντίσαντα τῆς ὑμωρείας, εἰπεῖν ἀκούοντα μὴ τὴν σὴν φερομένην, Πτύσατε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δὲ οὐ πλήθεις. πυθόμενος δ' ὁ Νικοκρέων καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀπορραγῆναι ἐμπῦσαι αὐτῷ. ἢ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως,

Πτύσατε μᾶλλον ἔτι ἢ μᾶλλον θύλακος ὄζει·
Πτύσατ' Ἀνάξαρχος δ' ἐν Διὸς ὄζει πάλαι.
Καί σε διαστεῖλαι ὀλίγον τὰ διερφῆ τάδε λιξεῖ
Ῥήματα Φερσεφόνη ἔρεε μελωδρὲ κακή.

ἔσπευδε δι' αὐτὸν ἀπάθειαν καὶ ἀνοχλησίαν τοῦ βίου, Εὐδαιμονικὸς ἐκαλεῖτο· καὶ ἴσως ἐκ τοῦ ῥᾴστου δυνατὸς σωφρονίζειν. τὸν γοῦν Ἀλέξανδρον οἰόμενον εἶναι θεὸν ἐπετίμησεν. ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτοῦ καταῤῥέον αἷμα, δείξας τῇ χειρὶ φησὶν αὐτὸν,

Τοῦτ' μὲν αἷμα, καὶ οὐχ ἰχὼρ
οἷός περ τε ῥέει μακάρεσσι θεοῖσι.

Γλαύκαρχος δὲ αὐτὸν Ἀλέξανδρον τοῦτο λέξαι φησὶ τοῖς φίλοις φησίν. ἀλλὰ καὶ ἄλλοτε φησὶ τὸν Ἀνάξαρχον, δείξαι τινὰ κύλικα, καὶ εἰπεῖν,

Βεβλήσεταί τις θεῶν βροτησία χειρί.

ΠΥΡΡΩΝ.

Πύρρων, Ἠλεῖος, Πλειστάρχου μὲν υἱὸς, κατὰ δὲ τοὺς Διοκλῆς ἱστορεῖ· ὡς φησὶ δ' Ἀπολλόδωρος ἐν χρονικοῖς, πρότερον μὲν ζωγράφος, εἶτα ἤκουσε Δρύσωνος τοῦ Σπίλπωνος, ὡς Ἀλέξανδρος ὁ Διαδοχαῖς. εἶτα Ἀναξάρχου ξυνακολουθῶν πανταχοῦ ὡς καὶ τοῖς Γυμνοσοφισταῖς ἐν Ἰνδίᾳ συμμίξαι, καὶ τοῖς μάγοις. ὅθεν γενναιότατα δοκεῖ φιλοσοφῆσαι, τὸ τῆς ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσαγαγών. ὡς Αἰσχύλος ὁ Αὐδημείτης φησίν. οὐδὲν γὰρ ἔφασκεν οὔτε καλὸν, οὔτε αἰσχρὸν, οὔτε δίκαιον, οὔτε ἄδικον. καὶ ὁμοίως ἐπὶ πάντων, μηδὲν εἶναι τῇ ἀληθείᾳ, νόμῳ δὲ καὶ ἔθει πάντα τοῖς ἀνθρώποις πράττειν· οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον. ἀκόλουθος δὲ ὢν καὶ τῷ βίῳ, μηδὲν ἐκφεύγοντος μηδὲ φυλαττόμενος, ἅπαντα ὑφιστάμενος, ἁμαξας, εἰ τύχοι, καὶ κρημνοὺς, καὶ κύνας, καὶ ὅσα τοιαῦτα, μηδὲν ταῖς αἰσθήσεσιν ἐπιτρέπων. σώζεσθαι μέντοι καθά φασιν οἱ περὶ τὸν Καρύστιον Ἀντίγονον ἐκ τοῦ τοὺς φίλους παρακολουθοῦντας. Αἰνησίδημος δέ φησι· φιλοσοφεῖν μὲν αὐτὸν κατὰ τὸν τῆς ἐποχῆς λόγον, μὴ μέντοι γε ἀπερισκέπτως ἕκαστα πράττειν. ὁ δὲ περὶ τὰ ἀναγκαῖα ἔτι καρτερίαν. Ἀντίγονος δέ φησιν ὁ Καρύστιος ἐν τῷ περὶ Πύρρωνος τάδε περὶ αὐτοῦ, ὅτι πλὴν ἀρχὴν ἄδοξός τε ἦν καὶ πένης καὶ ζωγράφος· σώζεσθαί τε αὐτὸν ἐν Ἤλιδι ἐν τῷ γυμνασίῳ λαμπάδιας μετρίως ἐχούσας. ἐκπαπεῖν τε αὐτὸν, καὶ ἐρημάζειν, σπανίως πιὲ δὲ φαινόμενον τοῖς οἰκείοις. πεπυσμένον δὲ παῖδα Ἰνδοῦ ἕνος ἀναιδίζοντος Ἀναξάρχου, ὡς οἷόν τε ἂν ἕτερόν τινα διδάξαι τοῦτ' ἀγαθὸν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων. ἀεί τε εἶναι ἐν τῷ αὐτῷ κατασήματι· ὥστε εἴ καί τις αὐτὸν καταλίποι μεταξὺ λέγοντα, αὐτὸν διαφθαίνειν τὸν λόγον· καίτοι κεκινημένον ὄντα ἐν τέσσαρσι. πολλάκις (φησὶ) καὶ ἀπεδήμει, μηδενὶ προειπών, ἐφ' ὅπου ἐβούλετο οἷς ἔσην ἤθελεν. καὶ

ποτε Ἀναξάρχου εἰς πέλμα ἐμπεσόντος, παρῆλθεν ἀβοηθήσας. ὑπὸ δὲ ἀπιστούμενος, αὐτὸς Ἀνάξαρχος ἐπήνει τὴν ἀδιάφθορον καὶ ἄοργον αὐτοῦ. καταλυθεὶς δέ ποτε καὶ ἑαυτῷ λαλῶν, καὶ ἐρωτηθεὶς τίνι αἰτίᾳ, ἔφη μελετᾶν τοὺς χρεοὺς εἰδέναι. εἴ τε ταῖς ζητήσεσιν ὑπ' οὐδενὸς καταφρονεῖτο, διά τ' ἐξουδενῶς λέγειν καὶ πρὸς ἐρώτησιν. ὅθεν καὶ Ναυσιφάνει ἤδη νεανίσκῳ ὄντα, θεραπεῦσαι ἔφασκεν χρῆναι τὴν μὲν διάθεσιν τοῦ Γυρρωνείου, τὴν δὲ λόγον, τὴν ἑαυτοῦ. ἔλεγέ τε πολλάκις καὶ Ἐπίκουρον θαυμάζοντα τὸν Πύρρωνος αἰσχυνόμενον, συνεχῶς αὐτοῦ παραίτεσθαι πρὸς αὐτόν. οὕτω δὲ αὐτὸν ὑπὸ τῆς πατρίδος τιμηθῆναι, ὥστε καὶ ἀρχιερέα καταστῆσαι αὐτοῦ, καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις ἀτέλειαν ψηφίσασθαι. ἦν δὲ καὶ ζηλωτὴς ἔχων πολλοὺς τῆς ἀσχημοσύνης. ὅθεν καὶ ὁ Τίμων πρὸς αὐτὸν φησὶν οὕτως ἐν τῷ Πύθωνι, καὶ ἐν τοῖς Σίλλοις,

Ὦ γέρον, ὦ Πύρρων, πῶς ἢ πόθεν ἔκδυσιν οὖρες
Λαβεῖν, δίξων τε κενεφρονίης τε σοφιστῶν,
Καὶ πάσης ἀπάτης πιθανῆς τ' ἀπολύσαο δεσμά.
Οὐδέ μέλει σοι ταῦτα μεταλλήσειν ἐνὶ αὐραῖ
Ἑλλάδι ἔχουσι, πόθεν τε καὶ εἰς ὅ, τι κυρεῖ ἔκαστα;

καὶ πάλιν ἐν τοῖς Ἰνδαλμοῖς.

Τὸν πάντων ὦ Πύρρων ἰμείρεται ἦτορ ἀνοῦσαι,
Πῶς ποτ' ἀνὴρ ἔτ' ἄγαν ῥᾴθυμος ἐπιχθονίων.
Μειλίχιος δ' ἀνθρώποισι θεοῖς θ' ὅπερ ἡγεμονεύων.

Ἀδελφοὶ δὲ καὶ πλείους αὐτὸν ἐπέμψαν, (καθά φησι Διοκλῆς) ὅτι τῷ Κέρκωπι τὸ θρέμμα διαχρήσασθαι. Ἀστεῖος δὲ καὶ τῇ ἀδελφῇ συνεβίω μαία οὖσῃ, καθά φησιν Ἑρμιππος ἐν τῷ περὶ πλούτου καὶ πενίας, ὅτι καὶ τοῦτ' φέρων ἐς ἀγορὰν ὁπόσα ἔσκεν ὀρνίθια, εἰ τύχοι, καὶ χοιρίδια καὶ τὰ ὁπὸ τῆς οἰκίας καθάροι ἀδιάφορος. λέγεται δὲ καὶ δίκην δοῦναι καὶ λύσειν αὐτὸς ὑπὸ ἀδιαφορίας. καὶ κελεύσας ἃ τοῖς

ἀδελφῆς, (Φιλίσα ϑ' ὀνομάζειπ) φεὺς τ λαβόμβυον ἐπεῖν
ὡς ὐκ ἐν γυναίῳ ἡ ὑπόδεξις τ ἀδιαφορίας. καὶ κωμῳδ
ποτε ἐπενεχθέντος διαστολὴν, εἰπεῖν φεὺς τὸν αἰπαφάμ-
βυον, ὡς χαλεπὸν εἴη ὁλοσχερῶς ὀνομάζειν ἄνθρωπον· διαγ-
νίζεσθαι ϑ', ὡς οἷόν τε, φεκτὸν μὴ τοῖς ἔργοις φεὺς τὰ
φεάγματα· εἰ ϑ' μὴ, τῷ γε λόγῳ. φασὶ ϑ' καὶ σπληκῶν
φαρμάκων καὶ τομῆς καὶ καύσεων ὑπὸ ἰατρῶν ἑλκομένοις αὐτῷ
φεοσενεχθέντων, μηδὲ τὰς ὀφρῦς συναγαγεῖν. καὶ ὁ
Τίμων ϑ' διαστρεφῆ τ διάθεσιν αὐτῷ, ἐν οἷς φεὺς Πύθω-
να διέξεισιν. διὰ τ Φίλωνα ὁ Ἀθηναῖος, γνώριμος αὐτῷ
γενόμενος, ἔλεγεν ὡς ἐμέμνητο μάλιστα μὲν Δημοκρίτου, εἶτα
ϑ' καὶ Ὁμήρου, θαυμάζων αὐτὸν, καὶ συνεχὲς λέγων,

Οἵη περ φύλλων γενεή, τοίηδε καὶ ἀνδρῶν.

καὶ ὅτι φησὶ καὶ μύγας καὶ ὀρνέοις εἰκάζει τοὺς ἀνθρώπους.
φερεσθαι ϑ' καὶ ταῦτα,

Ἀλλὰ φίλος θάνε· τί σὺ τὸ δὴ ὀλοφύρεαι αὔτως;

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

καὶ ὅσα συμπίνων εἰς τὸ ἀβέβαιον, καὶ κενόδοξον ἅμα καὶ παι-
δαριώδες τ ἀνθρώπων. Ποσειδώνιος ϑ' καὶ τοιοῦτό τι διέξ-
εισι φεὶ αὐτοῦ. τ γὰρ ἐμπιπτόντων ἐσκυθρωπακότων ὑπὸ
χειμῶνος, αὐτὸς γαλήνιος ὢν ἀνέῤῥωσε τ ψυχὴν, διίξας
ἐν τῷ πλοίῳ χοιρίδιον ἁδρὸν, καὶ εἰπὼν ὡς χρὴ τ σοφὸν ἐν
τοιαύτῃ καταστάσει ἅπαντα ἐξιέναι· μόνος ϑ' Νεμήνιος καὶ δο-
γματίσαι φησὶν αὐτόν. τοῦτο φεὺς τοῖς διδασκάλοις καὶ μαθηταὶ
γεγόνασιν ἑλκόμενοι, ὧν Εὐρύλοχος· ὃ φέρει ἐλάσσωμα
πόδε. φασὶ γὰρ ὡς ὕστερον παρωξύνθη ποτὲ, ὥστε τ ὀβελίσκον
ἆραι μετὰ τ κρεῶν, ἕως τ ἀγορᾶς διῶκε τ μάγειρον.
καὶ ἐν Ἡλίδι καταπονούμενος ὑπὸ τ ζητούντων ἐν τοῖς λό-
γοις, ἀπερρίζας θοιμάτιον, διεντέταδο τ λῆμμα. ἵν' οὖν
πλεμιώτατος τοῖς σοφισταῖς, ὡς καὶ Τίμων φησίν. ὁ ϑ' Φίλων
τὰ πλεῖστα διελέγετο· ὅθεν καὶ φεὶ τούτου φησὶν εἶναι,

Ἢ τὸν ἀπ' ἀνθρώπων ἀπόκοπον, αὐτολαλητήν.

Οὐκ ἐμπαζόμενον δίξης εἰδέναι τε Φίλωνα.

περὶ τούτου, φησὶν ὁ Πύρρωνος Ἑκαταῖός τε ὁ Ἀβδηρίτης, καὶ Τίμων ὁ Φλιάσιος ὁ τοὺς σίλλους πεποιηκώς, περὶ οὗ λέξομεν ἔπ τε Ναυσιφάνης Τήϊος, οὗ φασὶ ζῆναι ἀκοῦσαι Ἐπικούρου. οὗτοι πάντες, Πυρρώνειοι μὲν ἀπὸ τοῦ διδασκάλου, ἀπορητικοὶ δὲ καὶ σκεπτικοί, καὶ ἐποχητικοὶ, καὶ ζητητικοί, ἀπὸ τῶν οἰκείων δογμάτων προσαγορεύονται. ζητητικὴ μὲν οὖν φιλοσοφία, ἀπὸ τοῦ πάντα ζητεῖν τὴν ἀλήθειαν· σκεπτικὴ δὲ, ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ, καὶ μηδέποτε εὑρίσκειν· ἐφεκτικὴ δὲ, ἀπὸ τοῦ μετὰ τὴν ζήτησιν πάθους· λέγω δὲ τὴν ἐποχήν· ἀπορητικὴ δὲ, ἀπὸ τοῦ περὶ δογμάτων ἀπορεῖν καὶ αὐτούς. Πυρρώνειοι δὲ, ἀπὸ Πύρρωνος. Θεοδόσιος δὲ ἐν τοῖς σκεπτικοῖς τροπαλαίοις, οὗ φησι δεῖν Πυρρώνειον καλεῖσθαι τὸν σκεπτικόν. εἰ γὰρ τὸ καθ' ἑκάστην κίνημα τῆς διανοίας ἄληπτόν ἐστιν, ὃν εἰσόμεθα ἀπὸ Πύρρωνος ὁρμᾶσθαι. μὴ εἰδότες δὲ, οὐ Πυρρώνειοι καλοίμεθ' ἄν. τοὺς δὲ μηδὲ τοῦτον εὑρεῖν φάσκοντας τὸν σκεπτικὸν Πύρρωνα, μηδὲ ἔχειν τὸ δόγμα. λέγοιτο δ' ἂν Πυρρώνειος ἐμοὶ τρόπος. ταύτης δὲ τῆς αἱρέσεως ἔνιοι φασὶν Ὅμηρον κατάρξαι. ἐπεὶ τοῖς αὐτοῦ ποιήμασι παρ' ὅτι μὲν ἄλλοτε ἄλλως ἀποφαίνεται, καὶ οὐδὲν ὁρισῶς διαπαίζει περὶ τὰς ἀποφάσεις. ἐπεὶ καὶ τὰ τῶν ἐπὶ σοφίᾳ, σκεπτικά ἐστιν, οἷς τὸ Μηδὲν ἄγαν· καὶ, Ἐγγύα, πάρα δ' ἄτα. δηλοῦσθαι τὸ βεβαίως καὶ πεπεισμένως διεγγυωμένῳ ἐπακολουθεῖν ἄτην. διὰ καὶ Ἀρχίλοχον καὶ Εὐριπίδην σκεπτικῶς ἔχειν, ἐν οἷς Ἀρχίλοχός φησι,

Τοῖος ἀνθρώποισι νοῦς, Γλαῦκε Λεπτίνεω παῖ,
Γίνεται ἠπίοις ὁποίην Ζεὺς ἐφ' ἡμέρην ἄγῃ.

Εὐριπίδης δέ,

Τί δῆτα θύειν τοὺς θαλασσίους βροτοὺς
Φρονεῖν λέγουσι; θοῦρον ἐκπνέουσ' ἄνδρα,
Δρασμῷ πεσοῦσαν ἢ σὺν ἱππικαῖς θύραις.

οὐ μὴν

οὐ μὴν ἀλλὰ καὶ Ξενοφάνης, καὶ Ζήνων ὁ Ἐλεάτης, καὶ Δημόκριτος, κατ' αὐτοὺς σκεπτικοὶ τυγχάνουσιν. ἐν οἷς Ξενοφάνης μὲν φησι,

Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν, οὐδέ τις ἔσται
Εἰδώς. Ζήνων δὲ τὴν κίνησιν αἱρεῖ, λέγων, Τὸ κινούμενον οὔτε ἐν ᾧ ὅτι πέπωκεν εἶται, οὔτε ἐν ᾧ μή ἐστι. Δημόκριτος δὲ τὰς ποιότητας ἀναιρῶν· ἵνα φησὶ, Νόμῳ γλυκὺ, νόμῳ πικρόν· ἀτόμη δὲ ἄπειρα, καὶ κενόν. καὶ πάλιν· Ἀτόμῃ δὲ οὐδὲν ἴδιον· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια. καὶ Πλάτωνα τὸ μὲν ἀληθὲς θεοῖς τε καὶ θεῶν παισὶν ἀνιχνεῖν, τὸ δὲ εἰκότα λόγον ζητεῖν· καὶ Εὐριπίδην λέγειν,

Τίς δ' οἶδεν εἰ τὸ ζῆν μὲν ὄντι κατθανεῖν,
Τὸ κατθανεῖν δὲ ζῆν νομίζεται βροτοῖς;

ἀλλὰ καὶ Ἐμπεδοκλέα οὕτως· ἐπεὶ οὐδὲ ἕρκται πάλαι αἰθράσιν, οὔτ' ἐπακουσταὶ, Οὔτε νόῳ θέλιπτά. καὶ ἑπάνω,

Αὐτὸ μόνον πιθανὸν τῷ θεσπεσίως ἑκάστοις.

ἔτι δὲ Ἡράκλειτον, Μὴ εἰκῇ θεῖναι τῶν μειζόνων συμβαλώμεθα. καὶ Ἱπποκράτην ἔστιν ἀναδιασῶσαι καὶ ἀνθρωπίνως ἀποφαίνεσθαι. καὶ πρὸς Ὅμηρον,

Στρεπτὴ δὲ γλῶσσα· ὅτι βροτὸς, πολλοὶ δὲ ἔνι μῦθοι.

καὶ,

-- ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

καὶ,

Οἷον τοῖόν κ' εἶπας ἔπος, τοῖόν κ' ἐπακούσαις.

τὴν ἰσοσθένειαν λέγων καὶ αἰτίαν τῶν λόγων. διεπέλουν δὲ οἱ σκεπτικοὶ τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀναιροῦντες, αὐτοὶ δὲ οὐδὲν ἀποφαίνοντες δογματικῶς. ἕως δὲ τοῦ συφέρεσθαι τὰ τῶν ἄλλων, καὶ δογματίζεσθαι, μηδὲν εἰζοντες, μηδ' αὐτὸ τοῦτο. ὥστε καὶ τὸ μὴ ὁρίζειν αἱροῦνται, λέγοντες· οὐ, Οὐδὲν ὁρίζομαι, (ἐπεὶ οὐδὲν ὁρίζομαι) συφερόμεθα δὲ (φασὶ) ταῖς ἀποφάσεις εἰς μείωσιν τῆς ἀπερισπωσίας. ὡς εἰ καὶ νοήσαντας τοῦτο, ἐνεδέχετο δηλῶσαι. διὰ τί οὖν

Οὐδὲν διζομαι, φωνῆς, ἐπὶ τῆς ἀρρενίας πάθος δηλοῦται, ὁμοίως δὲ καὶ διὰ τῆς Οὐδὲν μᾶλλον, καὶ τῆς Παντὶ λόγῳ λόγος ἀντίκειται, καὶ ταῖς ὁμοίαις. λέγεται δὲ τὸ Οὐδὲν μᾶλλον, καὶ σκεπτικῶς, ὡς ὁμοίων ὄντων ἀμφῶν. οἷς, Οὐδὲν μᾶλλον ὁ πειρατὴς κακός ἐστιν ἢ ὁ φύσης. ὑποσκεπτικῶν οὐ σκεπτικῶς ἀλλ' αἱρετικῶς λέγεται. ὡς ὑπὸ τῶν αἱρετικῶν κύων λέγοντες, Οὐ μᾶλλον ἡ Σκύλλα λέγεται ἢ ἡ Χίμαιρα. αὐτὸ δὲ τὸ μᾶλλον, ἐπὶ μὲν συγκριτικῶς ἀναφέρεται, ὡς ὅταν φῶμεν, Μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὸ σταφίδα· ἐπὶ δὲ σκεπτικῶς καὶ αἱρετικῶς, ὡς ὅταν φῶμεν, Μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει. σημαίνομεν γὰρ ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ. αἱροῦνται δὲ οἱ σκεπτικοὶ καὶ αὐτὸ τὸ Οὐδὲν μᾶλλον φωνεῖν. ὡς γὰρ οὐ μᾶλλόν ἐστι θερμὸν ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ Οὐδὲν μᾶλλον, οὐ μᾶλλόν ἐστιν ἢ οὐκ ἔστι. σημαίνει οὖν ἡ φωνή, (καθά φησι καὶ Τίμων ἐν τῷ Πύθωνι) τὸ μηδὲν ὁρίζειν, διὰ ἀπερισκεψίαν. ἡ δὲ Παντὶ λόγῳ φωνὴ καὶ αὐτὴ σωφρονεῖ τὸν ἐποχήν. τῶν μὲν γὰρ πραγμάτων διαφωνουμένων, τῶν δὲ λόγων ἰσοσθενουμένων, ἀκρισία τῆς ἀληθείας ἐπακολουθεῖ· καὶ αὐτῷ δὴ τούτῳ τῷ λόγῳ λόγος ἀντίκειται· ὃς καὶ ἐστὶ μετὰ τὸ ἀναιρεῖν τοὺς ἄλλους, αὐτὸς ἑφ' ἑαυτὸν περιτρεπὴς ἀπόλλυται· κατ' ἴσον τοῖς καθαρτικοῖς, ἃ τὴν ὕλην ἀπεκκρίναντα, καὶ αὐτὰ συνεκκρίνεται καὶ ἐκπίπτουσι. ἃς ὅ φασιν οἱ δογματικοί, μὴ αἴρειν τὸν λόγον, ἀλλὰ ἀπερισκεπτεῖν. μόνον οὖν διακόνοις ἐχρῶντο τοῖς λόγοις. οὐ γὰρ οἷόν τε ἦν μὴ λόγῳ λόγον ἀναιρεῖν καθ' ὃν δήπου εἰώθαμεν λέγειν τόπον μὴ εἶναι, καὶ δεῖ πάντως τὸν τόπον εἶναι, ἀλλ' οὐ δογματικῶς, ἀπροσκλινῶς δέ. καὶ μηδὲν γίνεσθαι κατ' ἀνάγκην, καὶ δεῖ τὴν ἀνάγκην εἶναι. τοιούτῳ γοῦν τρόπῳ τὰ ἐρμηνείας ἐχρῶντο· οἷα γὰρ φαίνεται τὰ πράγματα, μὴ τοιαῦτα εἶναι τῇ φύσει, διὰ μόνον φαίνεσθαι. ζητεῖν τε ἔλεγον οὐχ ἅπερ νοοῦσιν (ὅτι

γὲ νοεῖται, δῆλον) ἀλλ' ὧν ταῖς αἰσθήσεσι μετέχουσιν. ἔστιν οὖν ὁ Πυρρώνειος λόγος, μνήμη τῶν φαινομένων ἢ τῶν ὑποσυνοουμένων, καθ' ὧν πάντα πᾶσι συμβάλλεται, καὶ συγκρινόμενα, πολλὴν ἀνωφέλειαν ἐς τὸ εὐσχήμονα ἔχοντα βιοῦσθαι, καθά φησιν Αἰνησίδημος ἐν τῇ εἰς τὸν Πυρρώνεια ὑποτυπώσει. τρεῖς δὲ παὶ ἐν ταῖς σκέψεσιν αἱ πρόσεις, τρεῖς ἀποδεικνύουσι καθ' οὓς ὕπως πέπεικε τὰ πράγματα, κατ' οὐδὲ αὐτοὺς αἱρεῖσθαι τὴν περὶ αὐτῶν πίστιν. πέπεικε γὲ τὰ δὲ κατ' αἴσθησιν συμφώνως ἔχοντα, καὶ τὰ μηδέποτε ἢ σπανίως τοῖς μετὰ πίστεως τὰ τε συνήθη καὶ τὰ νόμοις διεσταλμένα καὶ τέρποντα, καὶ τὰ θαυμαζόμενα. ἐδείκνυσαν οὖν ἀπὸ τῶν ἐναντίων τοῖς πέπεισιν, ἴσας τὰς πιθανότητας. αἱ δ' ἀπορίαι κατὰ τὰς συμφωνίας τῶν φαινομένων ἢ νοουμένων, ἃς ἀπεδίδοσαν, ἦσαν κατὰ δέκα τρόπους, καθ' οὓς τὰ ὑποκείμενα πραγματεύοντα ἐφαίνετο. τοῦπος δὲ τῶν δέκα τρόπων καθ' οὓς πέπεισεν, ἓν πρῶτον, ὃ πρὸς τὰς διαφορὰς τῶν ζώων πρὸς ἡδονὴν καὶ ἀλγηδόνα, καὶ βλάβην καὶ ὠφέλειαν. συνάγεται δι' αὐτοῦ, τὸ μὴ τὰς αὐτὰς ἀπὸ τῶν αὐτῶν πρόσπιπτειν φαντασίας, καὶ τὸ διότι τῇ τοιαύτῃ μάχῃ ἀκολουθεῖ τὸ ἐπέχειν. τῶν γὲ ζώων τὰ μὲν χωρὶς μίξεως γίνεσθαι, ὡς τὰ πυρίβια, καὶ ὁ Ἀραβίος φοίνιξ, καὶ ὕλαι· τὰ δ' ἐξ ὁπλοκῆς, ὡς ἄνθρωποι, καὶ τὰ ἄλλα. καὶ τὰ μὲν, οὕτως, τὰ δ' οὕτως συγκέκριται. διὸ καὶ τῇ αἰσθήσει διαφέρει, ὡς κίρκοι μὲν, ὀξύτατοι ὄψεως ὄντες, ὀσφρήσεως πάνυ. βύλοχον οὖν τοῖς διαφόροις τοῖς ὀφθαλμοῖς διάφορα καὶ τὰ φαντάσματα πρόσπιπτειν· καὶ τῇ μὲν αἰγὶ τὸ θαλλὸν εἶδος ἡδύσμου, ἀνθρώπῳ δὲ πικρόν· καὶ τὸ κώνειον ὄρτυγι μὲν βρῶσιμον, ἀνθρώπῳ δὲ θανάσιμον· καὶ ὁ ἄνθρωπος, ὑὶ μὲν ἡδύσμος, ἵππῳ δὲ οὔ. δεύτερος, ὁ πρὸς τὰς τῶν ἀνθρώπων φύσεις, καὶ τὰ ἔθνη καὶ συγκρίσεις. Δημοφῶν γάρ φησιν ὁ Ἀλεξανδρεὺς βαπτιζόμενος, ἐν σκιᾷ ἐθάλπετο, ἐν ἡλίῳ δὲ ἐρρίγει.

Ἄνδρων δ' ὁ Ἀρκάδιος (ὡς φησιν Αἰσχύλος) διὰ τῆς αὐδρου Λιβύης ὠδεύειν ἄποπας. καὶ ὁ μὲν ἰατρικῆς, ὁ δὲ γεωμέτρας, ἄλλος ἐμπορείας ὀρέγεται· καὶ ταῦτα οὐ μὲν βλέπει, οὐ δὲ ὠφελεῖ· ὅθεν ἐφεκτέον. πείθει δὲ καὶ τὰς τῶν αἰσθητικῶν πόρων διαφοράς. τὸ μὲν γοῦν μέλαν, ὀξέσι μὲν ὠχρόν, γύπεσι δὲ γλαυκόν, στρουθοῖς δὲ ὑακίνθινον ὑποπίπτει. καὶ ἡ αὐτὴ δὲ μορφὴ διὰ τὰς διαφορὰς τῶν πόρων ἀλλοία θεωρεῖται. ἀκολουθεῖ οὖν μὴ μᾶλλον εἶναι τὸ φαινόμενον ἢ ἀλλοῖον. πέπαρται δὲ διὰ τὰς διαθέσεις καὶ κινήσεις διαλλαγάς· ὕπνους, ὑγιείας, νόσους, ὕπνον, ἐγρήγορσιν, χαράν, λύπην, νεότητα, γῆρας, θάρσος, φόβον, ἔνδειαν, πλήρωσιν, μῖσος, φιλίαν, θυμὸν, ψύξιν· διὰ τὸ πνεῖν, διὰ τὸ πεδᾶσθαι τοῖς πόροις. ἀλλοῖα οὖν φαίνεται τὰ ὑποπίπτοντα διὰ τὰς πρὸς ταῦτα διαθέσεις. οὐδὲ γὰρ οἱ μανόμενοι διὰ φύσιν ἔχουσι. τί γὰρ μᾶλλον ἐκεῖνοι ἢ ἡμεῖς; ἢ γὰρ ἡμεῖς τὸν ἥλιον ὡς ἑστῶτα βλέπομεν. Θέων δὲ ὁ Τιμοκράτους ὁ Στωϊκὸς, κοιμώμενος ἐδιδάσκετο ἐν τῷ ὕπνῳ, καὶ Πεισικλείους δοῦλος ὢν τὸ στέγος ἄκρον. πίμπλης, διὰ τὰς ἀγωγὰς, καὶ τοὺς νόμους, καὶ τὰς μυθικὰς πίστεις, καὶ πολιτικὰς συνηθείας, καὶ δογματικὰς ὑπολήψεις. ἐν τούτῳ δὲ ἐστὶ καὶ τὸ περὶ καλῶν καὶ αἰσχρῶν, περὶ ἀληθῶν καὶ ψευδῶν, περὶ τῶν ἀγαθῶν καὶ κακῶν, περὶ θεῶν, καὶ ἀγωγῆς καὶ φθορᾶς τῶν φαινομένων πάντων. τὸ γοῦν αὐτὸ παρ' οἷς μὲν δίκαιον, παρ' οἷς δὲ ἄδικον· καὶ ἄλλοις μὲν ἀγαθὸν, ἄλλοις δὲ κακόν. Πέρσαις μὲν γὰρ ἐν ἄτοπον ἡγοῦνται, συγκατακλίνεσθαι· Ἕλλησι δὲ, ἔνταλμον. καὶ Μασσαγέταις μὲν (ὡς φησι καὶ Εὔδοξος ἐν τῇ περιόδῳ τῆς περιόδου) κοινὰς ἔχουσι τὰς γυναῖκας· Ἕλλησι δὲ, οὔ. Κιλίκες τε λῃστὰς ἔχαιρον, ἀλλ' οὐχ Ἕλληνες. θεοὺς τε δῆθεν ἄλλους ἡγοῦνται· καὶ οἱ μὲν προνοεῖσθαι, οἱ δὲ οὔ. θάπτουσι δὲ Λιγύπτιοι μὲν, ταριχεύοντες· Ῥωμαῖοι δὲ, καίοντες· Παίονες δὲ, εἰς τὰς λίμνας ῥιπτοῦντες. ὅθεν δεῖ ταλήθοις ἢ ἐ-

ποχή. ἔκτος, ὁ πρὸς τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινῶς οὐδὲν καθ' αὑτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτὶ, σὺν ὑγρῷ, σὺν στερεῷ, θερμότητι, ψυχρότητι, κινήσει, ἀναθυμιάσεσιν, ἄλλαις δυνάμεσιν. ἡ γοῦν πορφύρα διάφορον ὑποφαίνει χρῶμα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ λύχνῳ. καὶ τὸ ἡμέτερον χρῶμα, ἄλλοῖον ὑπὸ τὴν μεσημβρίαν φαίνεται, καὶ ὁ ἥλιος, καὶ ὁ ἐν ἀέρι ὑπὸ δυοῖν κουφιζόμενος λίθος, ἐν ὕδατι ῥᾳδίως μεταπίπτει· ἔπι βαρὺς ὢν καὶ ὑπὸ τοῦ ὕδατος κουφιζόμενος, ἢ ἐλαφρὸς ὢν καὶ ὑπὸ τοῦ ἀέρος βαρυνόμενος. ἀλλοιοῦμαι οὖν τὸ κατ' ἰδίαν, ὡς ἔλαιον ἐν μύρῳ. ἕβδομος, ὁ πρὸς τὰς ὑποστάσεις, καὶ ποιὰς θέσεις, καὶ τοὺς τόπους, καὶ τὰ ἐν τοῖς τόποις. κατ' ὄψιν τὸν ἔγγιον. τὰ δοκοῦντα εἶναι μεγάλα, μικρὰ φαίνεται· τὰ πεντάγωνα, στρογγύλα· τὰ ὁμαλὰ, ὀξυγωνίας ἔχοντα· τὰ ὀρθὰ, κεκλασμένα· τὰ ὠχρὰ, ἐπερόχροα. ὁ γοῦν ἥλιος πρὸς τὸ διάστημα πύῤῥωθεν φαίνεται· καὶ τὰ ὄρη πύῤῥωθεν ἀεροειδῆ καὶ λεῖα, ἐγγύθεν ᾗ πραχέα. ἔτι ὁ ἥλιος αὐτὸς ἰσχνὸς μέν, ἀλλοῖος· μεσουρανῶν ᾖ, οὐχ ὅμοιος, καὶ τὸ αὐτὸ σῶμα οὐ μέν ἄλος, ἀλλοῖον· ἐν ᾧ ψιλῇ γῇ ἕτερον. καὶ ἡ εἰκὼν, πρὸς τὴν ποιὰν θέσιν· ὅπερ τῆς ὀπτικῆς πρᾶγμα ἐστὶ, πρὸς τὴν σφαῖραν. ἐπὶ οὖν ὧν ἔνι ἔξω τόπων καὶ θέσεων ταῦτα καταναοῆσαι, ἀγνοεῖται ἡ φύσις αὐτῶν. ὄγδοος, ὁ πρὸς τὰς ποσότητας αὐτῶν ἢ θερμότητας ἢ ψυχρότητας, ἢ ταχύτητας ἢ βραδύτητας, ἢ ὑγρότητας, ἢ ἑτεροχροιότητας. ὁ γοῦν οἶνος, μέτριος μὲν ληφθεὶς, ῥώννυσι· πλείων ᾖ, παραλύσει· ὁμοίως καὶ ἡ τροφὴ, καὶ τὰ ὅμοια. ἔννατος, ὁ πρὸς τὸ συνήθες, ἢ ξένον, ἢ σπάνιον. οἱ γοῦν σεισμοὶ παρ' οἷς συνεχῶς ἀποπλοῦνται, οὐ θαυμάζονται· οὐδὲ ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται. τὴν ἔνατον Φαβωρῖνος μ΄· Σέξτος ᾗ καὶ Αἰνεσίδημος, ι΄. ἀλλὰ καὶ τὸν ι΄ Σέξτος μ΄ φησὶ, Φαβωρῖνος ᾗ, θ΄. δεκατος, ὁ κατ' ἀντιθέσεις διήγησα σύμβλησιν· καθάπερ τὸ κοῦφον, πρὸς τὸ βαρύ· τὸ

ἰσχυόν. καὶ τὸ ἀσθενές τὸ μεῖζον, καὶ τὸ ἔλαττον τὸ ἄνω, καὶ τὸ κάτω τὸ χρῶ δεξιόν, φύσει μὲν ὂν ἐπὶ δεξιόν, κατὰ δὲ τὴν ὡς τυχὸν τὸ ἕτερον ὀρέγειν τοῦτο. μεταπεθέντος χρῶ ἐκείνου, οὐκ ἔσται δεξιόν. ὁμοίως καὶ πατὴρ καὶ ἀδελφός, ὡς τυχὸν ἡ, καὶ ἡμέρα, ὡς τυχὸν τὸν ἥλιον καὶ πάντα ὡς τυχὸν τῷ δόξαντι. ἄγνοια οὖν τὰ τυχόντα ὡς καθ' ἑαυτά. καὶ οὔπω μέν οἱ δέκα τρόποι. οἱ δὲ περὶ Αἰνησίδημον τοῦτοις ἄλλους πέντε προσεπάγουσι τόν τε ἀπὸ τῆς διαφωνίας, καὶ τὸν εἰς ἄπειρον ἐκβάλλοντα, καὶ τὸν τυχόν, καὶ τὸν ἐξ ὑποθέσεως, καὶ τὸν δι' ἀλλήλων. ὁ μὲν οὖν ἀπὸ τῆς διαφωνίας, ὃ διὰ πάντων ζήτημα παρὰ τοῖς φιλοσόφοις ἐστὶ καὶ πολλῆς μάχης καὶ ταραχῆς πλήρες ἀποδεικνύει· ὁ δὲ εἰς ἄπειρον ἐκβάλλων, ὅταν εἰς βεβαιοῦσθαι τὸ ζητούμενον, διὰ τὸ ἄλλο ἀπ' ἄλλου τὴν πίστιν λαμβάνειν, καὶ οὕτως εἰς ἄπειρον· ὁ δὲ τυχόν, ὅταν μηδὲν φησι καθ' ἑαυτὸ λαμβάνεσθαι, ἀλλὰ μετ' ἐπείνου. ὅθεν ἄγνοια ἦν. ὁ δὲ ἐξ ὑποθέσεως τρόπος συνίσταται, ὅταν ἐξ ὁμολογουμένων τοῦ πράγματος αὐτοῦ δεῖν λαμβάνειν ὡς πιστά, καὶ μὴ αἰτεῖσθαι (ὃ δή ἐστιν ἀναίτιον τὸ ἐναντίον ὑπόθεσιν ποιεῖσθαι) ὁ δὲ δι' ἀλλήλων τρόπος συνίσταται, ὅταν τὸ ὀφεῖλον τὸ ζητουμένου πράγματος εἶναι βεβαιωτικὸν, χρείαν ἔχῃ ἀπὸ τοῦ ζητουμένου πίστεως. οἷον, εἰ τὸ εἶναι πόρους τὸν βεβαιοῖ, διὰ τὸ ἀπορροίας γίνεσθαι, αὐτὸ πάλιν λαμβάνει πρὸς βεβαίωσιν τοῦ ἀπορροίας γίνεσθαι. αἱρεῖ δὲ ὅτι καὶ πᾶσαν ἀπόδειξιν, καὶ κριτήριον, καὶ σημεῖον, καὶ αἴσθησιν, καὶ κίνησιν, καὶ μάθησιν, καὶ γνῶσιν, καὶ τὸ φύσει τὸ εἶναι ἀγαθόν τε καὶ κακόν. πᾶσα γὰρ ἀπόδειξις (φασὶν) ἢ ἐξ ἀποδεδειγμένων συγκειται χρημάτων, ἢ ἐξ ἀναποδείκτων. εἰ μὲν οὖν ἐξ ἀποδεδειγμένων, κἀκεῖνα δεήσεται λόγου ἀποδείξεως, καὶ πεύσεται εἰς ἄπειρον· εἰ δὲ ἐξ ἀναποδείκτων, ἢ τινὰ πιστὰ τῶν, ἢ ἄγνωτα, ἢ καὶ ἐνίους μόνους δοκοῦντας, καὶ τὸ ὅλον εἶναι ἀναπόδεικτον. εἰ δὲ δοκεῖ (φασὶν) ὑπάρχειν τινὰ, μηδεμιᾶς ἀποδείξεως δεό-

μμα, θαυμασοὶ τῆς γνώμης, εἰ μὴ σωιάσιν ὅτι εἰς αὐτὸ τοῦτο τρέπον, ὡς ἀράξῃ αὐτῷ ἔχῃ τὴν πίστιν, ἀποδείξεως χρεία. οὐδὲ γὰρ τὸ πέπαυσα εἶναι τὰ στοιχεῖα, ἐκ τοῦ πέπαυσα εἶναι τὰ στοιχεῖα, βεβαιωτέον. πρὸς τοῦτο, καὶ τῶν κατὰ μέρος ἀποδείξεων ἀπιστουμένων ἄπιστον εἶναι καὶ τὴν γλωικὴν ἀπόδειξιν. ἵνα τε γνῶμεν ὅτι ἔστιν ἀπόδειξις, κριτηρίου δεῖ· καὶ ὅτι ὀρθὸν κριτήριον, ἀποδείξεως δεῖ· ὅθεν ἑκάτερα ἀναλήπτα ἀναπεμπόμενα ἐπ' ἄπειρα. πῶς οὖν οὖν καταλαμβάνοιτο τὰ ἄδηλα, τῆς ἀποδείξεως ἀγνοουμένης; ζητεῖται ὃν ἐκ εἰ φαίνεται τοιαῦτα, ἀλλ' εἰ καθ' ὑπόστασιν οὕτως ἔχει. ἀνήθης ὃν τοῖς δογματικοῖς ἀπέφαινον. τὸ γὰρ ἐξ ὑποθέσεως προαινόμενον, οὐ σκέψεως ἀλλὰ θέσεως ἔχει λόγον. τοιούτῳ δὲ λόγῳ καὶ ὑπὲρ ἀδυνάτων ἔστιν ὑπάρχειν. τοῖς δὲ ὁμολογοῦσι μὴ δεῖν ἐκ τῶν κατ' ἔθος κρίνειν τὰληθές, μηδ' ἐκ τῶν κατὰ φύσιν νομοθετεῖν, ἔλεγεν αὐτοῖς μέτρα τῶν πάντων εἶναι, οὐχ ὁρῶντας ὅτι παῦ τὸ φαινόμενον, κατ' ἀπόθεσιν καὶ ὑπόθεσιν φαίνεται. ἤτοι γοῦν πάντα ἀληθῆ ῥητέον, ἢ πάντα ψευδῆ. εἰ δ' ἔνια ἔστιν ἀληθῆ, τίνι διακριτέον; οὔτε γὰρ αἰσθήσει τὰ κατ' αἴσθησιν, πάντων ἴσων αὐτῇ φαινομένων, οὔτε νοήσει, διὰ τὴν τοιαύτην αἰτίαν. ἄλλη δὲ τούτοις εἰς ὑπόκρισιν δυνάμις οὐχ ὑπάρχει. ὁ οὖν (φασὶ) τοῦτο τινος διαβεβαιούμενος αἰσθητὸν ἢ νοητόν, πότερον ὀφείλει τὰς περὶ τούτων δόξας καταλῆψαι. οἱ μὲν γὰρ ταῦτα, οἱ δὲ ταῦτα αἱροῦνται. δεῖ δὲ ἢ δι' αἰσθητοῦ ἢ νοητοῦ κριθῆναι. ἑκάτερα δὲ ἀμφισβητεῖται. ὑπόκειται δυνατὸν τὰς περὶ αἰσθητῶν ἢ νοητῶν ὑποκρίνασθαι δόξας, εἴτε διὰ τὴν ἐν τοῖς νοήσεσι μάχην ἀπαιτητέον, πᾶσιν αἱρεθήσεται τὸ μέτρον, ᾧ δοκεῖ τὰ πάντα διακριβοῦσθαι. παῦ οὖν ἴσον ἡγήσονται. ἔτι φησὶν ὁ συζητῶν ἡμῖν, τὸ φαινόμενον πιστόν ἐστιν, ἢ οὐ; εἰ μὲν οὖν πιστόν ἐστιν, οὐδὲν ἔξει λέγειν πρὸς τὸν ᾧ φαίνεται τοιοῦτον· ὡς γὰρ αὐτὸς πιστὸς τὸ φαινόμενον λέγων, οὕτω καὶ ὁ ἐναντίος. εἰ δ' ἄπιστον,

καὶ αὐτὸς ἀπιστήσεται. τὸ φαινόμενον λέγων. τό, τε πεῖθον οὐχ ὑπολαμβάνεσθαι ἀληθὲς ὑπάρχειν. οὐ γὰρ πάντας τὰ αὐτὰ πείθειν, οὐδὲ τοὺς αὐτοὺς συνεχῶς. γίνεται δὲ καὶ παρὰ τὸ ἐκ τοῦ ἡ πιθανότης, παρὰ τὸ ἔνδοξον τοῦ λέγοντος, ἢ παρὰ τὸ φοβιστικόν, ἢ παρὰ τὸ αἰμύλον, ἢ παρὰ τὸ σύνηθες, ἢ παρὰ τὸ κεχαρισμένον. αἱρήσειν δ' καὶ τὸ κριτήριον, λόγῳ τοιῷδε· ἤτοι κέκριται καὶ τὸ κριτήριον, ἢ ἄκριτόν ἐστιν. ἀλλ' εἰ μὴ ἄκριτόν ἐστιν, ἄπιστον καὶ δέδεικται τὰ ἀληθοῦς καὶ τοῦ ψεύδους· εἰ δὲ κέκριται, ἐν τῷ κριτῷ μέρος ἥξει κριτόμενον· ὥστ' αὖ τὸ αὐτὸ καὶ κρίνειν καὶ κρίνεσθαι, καὶ τὸ κεκριμένον τὸ κριτήριον ὑφ' ἑτέρου κριθήσεται, κἀκεῖνο ὑπὸ ἄλλου, καὶ οὕτως εἰς ἄπειρον. ὥστε ὧν καὶ διαφωνεῖσθαι τὸ κριτήριον· τῷ μὲν, τὸν ἄνθρωπον κριτήριον εἶναι λεγόντων, τῷ δὲ, τὰς αἰσθήσεις· ἄλλων, δὲ λόγον εἶναι, τὸν καταληπτικὸν φαντασίαν. καὶ ὁ μὲν ἄνθρωπος καὶ ὡς αὐτὸν διαφωνεῖται καὶ ὡς τοὺς ὁμοίους· ὡς δῆλον ἐκ τῶν διαφόρων νόμων καὶ ἐθῶν. αἱ δὲ αἰσθήσεις ψεύδονται· ὁ δὲ λόγος, διάφωνος. ἢ δὲ καταληπτικὴ φαντασία ὑπὸ τοῦ κρίνεται, καὶ ὁ νοῦς ποικίλως πέπεται. ἄγνωστον οὖν ὅτι τὸ κριτήριον, καὶ διὰ τοῦτο ἡ ἀλήθεια. σημεῖόν τε ἂν εἴη. εἰ γὰρ ὅτι (φασὶ) σημεῖον, ἤτοι αἰσθητόν ἐστιν, ἢ νοητόν. αἰσθητὸν μὲν οὖν ἂν ἔστιν· ἐπεὶ τὸ αἰσθητὸν κυρίως ὅτι τὸ δὲ σημεῖον, ἴδιον. καὶ τὸ μὲν αἰσθητὸν κατὰ διαφοράν· τὸ δὲ σημεῖον, τῷ πρὸς τι. νοητὸν δὲ ἂν ἔστιν· ἐπεὶ εἰ ἔστι νοητὸν, ἤτοι φαινόμενόν ἐστι φαινομένου, ἢ ἀφανὲς ἀφανοῦς, ἢ ἀφανὲς φαινομένου, ἢ φαινόμενον ἀφανοῦς. οὐδὲν δὲ τούτων ἐστὶν· οὐκ ἄρα ἐστὶ σημεῖον. φαινόμενον μὲν οὖν φαινομένου οὐκ ἔστιν, ἐπεὶ τὸ φαινόμενον οὐ δεῖται σημείου· ἀφανὲς δὲ ἀφανοῦς οὐκ ἔστιν, ἐπειδὴ φαίνεσθαι τὸ ἐκκαλυπτόμενον ὑπό τινος. ἀφανὲς δὲ φαινομένου οὐ δύναται, καθότι δεῖ φαίνεσθαι τῷ ἑτέρῳ παρέξον ἀφορμὴν ἀποκαλύψεως. φαινόμενον δὲ ἀφανοῦς οὐκ ἔστιν, ὅτι τὸ σημεῖον, τῷ

πρὸς ἃ ὄν, συγκαταλαμβάνεσθαι ὀφείλει πῶ οὖ ἔστι σημεῖον· τὸ ᾧ μὴ ἔστιν. οὐδὲν ἄρα τῶν ἀδήλων ἂν καταλαμβάνοιτο. διὰ γὰρ τῶν σημείων λέγεται τὰ ἄδηλα καταλαμβάνεσθαι. αἱρούσι δὲ τὸ ἄπτον ὧδε· τὸ ἅπτον τῶν πρὸς τι ἔστι πρὸς γὰρ ὃ ἁπατῶδες. τὰ δὲ πρὸς τι δύναται μόνον, ὑπάρχειν δὲ οὔ. καὶ τὸ ἅπτον οὖν δύναιτο ἂν μόνον. ἐπεὶ εἴπερ ἔστιν ἅπτον, ὀφείλει ἔχειν τὸ οὗ λέγεται ἅπτον, ἐπεὶ μὴ ἔχον ἅπτον. καὶ ὥσπερ ὁ πατήρ, μὴ παρόντος τοῦ πρὸς ὃ λέγεται πατήρ, μὴ ἂν εἴη πατήρ, οὕτως δὲ καὶ τὸ ἅπτον. οὐ πάρεστι δὲ πρὸς ὃ νοεῖται τὸ ἅπτον· (οὔτε γὰρ γένεσις, οὔτε φθορά, οὔτε ἄλλο τι) μὴ ἄρα ἔστιν ἅπτον. καὶ μὴν εἰ ἔστιν ἅπτον, ἤτοι σῶμα σώματός ἔστιν ἅπτον, ἢ ἀσώματον ἀσωμάτου· οὐδὲν δὲ τούτων· μὴ ἄρα ἔστιν ἅπτον. σῶμα μὲν οὖν σώματος μὴ ἂν εἴη ἅπτον, ἐπεὶ ἀμφότερα τοῦ αὐτοῦ ἔχει φύσιν. καὶ εἰ τὸ ἕτερον ἅπτον λέγεται, παρ' ὅσον ἔστι σῶμα, καὶ τὸ λοιπὸν σῶμα ὂν, ἅπτον ἡγήσεται. καὶ νῦν δὲ ἀμφοτέρων ἁπτῶν ὄντων, οὐδὲν ἔσται τὸ πάσχον. ἀσώματον δὲ ἀσωμάτου μὴ ἂν εἴη ἅπτον, διὰ τὴν αὐτὴν λόγον. ἀσώματον δὲ σώματος μὴ ἔστιν ἅπτον· ἐπεὶ οὐδὲν ἀσώματον ποιεῖ σῶμα. σῶμα δὲ ἀσωμάτου οὐκ ἂν εἴη ἅπτον· ὅπερ τὸ ἡγούμενον, τῆς πασχούσης ὕλης ὀφείλει εἶναι· μηδὲν δὲ πάσχον, διὰ τὸ ἀσώματον εἶναι, οὐδὲ ἂν ὑπὸ τινος ἡγοῖτο. μὴ ἔστι δίνων ἅπτον. ὥσπερ εἰσάγεται τὸ αὐτοπάτους εἶναι τὰς τῶν ὅλων ἀρχάς. δεῖ γὰρ εἶναί τι τὸ πιστὸν καὶ δρῶν. ἀλλὰ μὴν οὐδὲ κίνησίς ἐστι. τὸ γὰρ κινούμενον, ἤτοι ἐν ᾧ ἔστι πάντως κινεῖται, ἢ ἐν ᾧ μὴ ἔστιν. καὶ ἐν ᾧ μὲν ἔστι πάντως, οὐ κινεῖται· ἐν ᾧ δὲ μὴ ἔστιν, οὐδὲ κινεῖται. μὴ ἔστιν οὖν κίνησις. ἀνήρουν δὲ καὶ μάθησιν. εἴπερ (φασὶ) διδάσκεται τι, ἤτοι τὸ ὂν ᾗ ἔστι διδάσκεται· ἢ τὸ μὴ ὄν, ᾗ μὴ ἔστι. οὔτε δὲ τὸ ὂν ᾗ ἔστι διδάσκεται· (ἡ γὰρ τῶν ὄντων φύσις πᾶσι φαίνεται καὶ γινώσκεται) οὔτε τὸ μὴ ὄν, ᾗ μὴ ὄντι· ᾗ γὰρ μὴ ὄντι οὐδὲν συμβέβηκεν) ὥστε οὔτε τὸ

διδάσκεσθαι. οὐδὲ μὴν ψεύδεσθαι ἔστι (φασὶν) οὔτε γὰρ τὸ ἐν γίνεται (ἔστι γάρ) οὔτε τὸ μὴ ὄν· (οὐδὲ γὰρ ὑφέστηκε) τὸ δὲ μὴ ὑφεστὼς, μηδὲ ὄν, οὐδὲ τὸ γίνεσθαι ἀτύχημα. φύσει τε μὴ εἶ) ἀγαθὸν ἢ κακόν. εἰ γάρ τι ἔστι φύσει ἀγαθὸν ἢ κακόν, πᾶσιν ὀφείλει ἀγαθὸν ἢ κακὸν ὑπάρχειν, ὥσπερ τὸ ψυχρὸν πᾶσι ψυχρόν· κοινὸν δὲ οὐδὲν πάντων ἀγαθὸν ἢ κακόν ἐστιν. οὐκ ἄρα ἔστι φύσει ἀγαθὸν ἢ κακόν. ἤτοι γὰρ πᾶν τὸ ὑπό τινος δοξαζόμενον ῥητέον ἀγαθόν, ἢ οὐ πᾶν. ἀλλὰ πᾶν μὲν οὐ ῥητέον, ἐπεὶ τὸ αὐτὸ ὑφ' οὗ μὲν δίκαιόν ἐστιν ἀγαθόν, ὡς ἡ ἡδονὴ ὑπὸ Ἐπικούρου· ὑφ' οὗ δὲ κακόν, ὑπὸ Ἀντισθένους. συμβήσεται δίκαιον τὸ αὐτὸ, ἀγαθόν τε εἶ) καὶ κακόν. εἰ δὲ οὐ πᾶν λέγοιμεν τὸ ὑπό τινος δοξαζόμενον ἀγαθόν, δεήσει ἡμᾶς διακρίνειν τὰς δόξας. ὅπερ οὐκ ἐνδέχεται τόν γε διαλεκτικὸν, διὰ τὴν ἰσοσθένειαν τῶν λόγων. ἄγνωστον οὖν τὸ φύσει ἀγαθόν. ἔστι δὲ καὶ τὸν ὅλον τῆς σωτηρίας αὐτῶν τρόπον σωίδειν ἐκ τῶν ἀπολειφθέντων συντάξεων. αὐτὸς μὲν γὰρ ὁ Πύρρων οὐδὲν ἀπέλιπεν, οἱ μέντοι σωήθεις αὐτῷ, Τίμων καὶ Αἰνεσίδημος καὶ Νουμήνιος καὶ Ναυσιφάνης, καὶ ἄλλοι τινὲς οἷς αὐτὸς ἔγραφον οἱ δογματικοὶ φασὶν αὐτοὺς καταλαμβάνεσθαι καὶ δογματίζειν· ἐν ᾧ γὰρ δοκοῦσι διελέγχειν, καταλαμβάνονται. καὶ γὰρ ἐν τῷ αὐτῷ κρατοῦσι καὶ δογματίζουσι. καὶ γὰρ ὅτε φασὶ μηδὲν ὁρίζειν, καὶ παντὶ λόγῳ λόγον αἰτεῖσθαι, αὐτὰ ταῦτα καὶ ὁρίζονται καὶ δογματίζουσι. τοὺς οὖν ἀποκρίνονται, Περὶ μὲν ὧν ὡς ἀνθρώποις πάσχομεν, ὁμολογοῦμεν. καὶ γὰρ ὅτι ἡμέρα ἐστὶ, καὶ ὅτι ζῶμεν, καὶ ἄλλα πολλὰ τῶν ἐν τῷ βίῳ φαινομένων διαγινώσκομεν· περὶ δὲ ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῷ λόγῳ, φάσκοντες καταλῆψθαι, ἐπέχομεν περὶ τούτων ὡς ἀδήλων· μόνα γὰρ τὰ παθητὰ γινώσκομεν. τὸ μὲν γὰρ ὅτι ὁρῶμεν, ὁμολογοῦμεν, καὶ τὸ ὅτι πόδε νοοῦμεν, γινώσκομεν· πῶς δὲ ὁρῶμεν, ἢ πῶς νοοῦμεν, ἀγνοοῦμεν. ὅτι δὲ πόδε λευκὸν φαίνεται, δογματικῶς λέγομεν, ὡς διαβεβαι-

